XXXI. Pergit Strabo p. 49 sq. *Μάλιστα δέ φησι τὴν ζήτησιν παρασχεῖν, πῶς ἐν δισχιλίοις καὶ τρισχιλίοις ἀπὸ θαλάττης σταδίοις κατὰ τὴν μεσόγαιαν ὁρᾶται πολλαχοῦ κόχλων καὶ ὀστρέων καὶ χηραμίδων πλῆθος, καὶ λιμνοθάλατται· καθάπερ φησὶ περὶ τὸ ἱερὸν τοῦ Ἄμμωνος καὶ τὴν ἐπ' αὐτῷ ὁδὸν τρισχιλίων σταδίων οὖσαν· πολλὴν γὰρ εἶναι χύσιν ὀστρέων, ἅλας τε καὶ νῦν ἔτι εὑρίσκεσθαι πολλούς, ἀναφυσήματά τε θαλάττης εἰς ὕψος ἀναβάλλειν· πρὸς ᾧ καὶ ναυάγια θαλαττίων πλοίων δείκνυσθαι, ἃ ἔφασαν διὰ τοῦ χάσματος*

ἐκβεβράσθαι· καὶ ἐπὶ στηλιδίων ἀνακεῖσθαι δελφῖνας, ἐπιγραφὴν ἔχοντας Κυρηναίων θεωρῶν. Ταῦτα δ' εἰπὼν τὴν Στράτωνος ἐπαινεῖ δόξαν τοῦ φυσικοῦ, καὶ ἔτι Ξάνθου τοῦ Λυδοῦ· τοῦ μὲν Ξάνθου λέγοντος, ἐπὶ Ἀρταξέρξου γενέσθαι μέγαν αὐχμόν, ὥςτ' ἐκλιπεῖν ποταμοὺς καὶ λίμνας καὶ φρέατα· αὐτὸν δὲ εἰδέναι πολλαχῆ πρόσω ἀπὸ τῆς θαλάττης λίθους τε κογχυλιώδεις, καὶ τὰ κτενώδεα καὶ χηραμίδων τυπώματα, καὶ λιμνοθάλασσαν ἐν Ἀρμενίοις, καὶ ἐν Ματτιηνοῖς, καὶ ἐν Φρυγίᾳ τῇ κάτω· ὧν ἕνεκα πείθεσθαι τὰ πεδία ποτὲ θάλατταν γενέσθαι. Τοῦ δὲ Στράτωνος ἔτι μᾶλλον ἁπτομένου τῆς αἰτιολογίας, ὅτι φησὶν οἴεσθαι τὸν Εὔξεινον μὴ ἔχειν πρότερον τὸ κατὰ Βυζάντιον στόμα, τοὺς δὲ ποταμοὺς βιάσασθαι καὶ ἀνοῖξαι, τοὺς εἰς αὐτὸν ἐμβάλλοντας· εἶτ' ἐκπεσεῖν τὸ ὕδωρ εἰς τὴν Προποντίδα καὶ τὸν Ἑλλήσποντον. Τὸ δ' αὐτὸ συμβῆναι καὶ περὶ τὴν καθ' ἡμᾶς θάλατταν· καὶ γὰρ ἐνταῦθα τὸν κατὰ στήλας ἐκραγῆναι πόρον, πληρωθείσης ὑπὸ τῶν ποταμῶν τῆς θαλάττης· κατὰ δὲ τὴν ἔκρυσιν ἀνακαλυφθῆναι τὰ τεναγώδη πρότερον. Φέρει δ' αἰτίαν, πρῶτον μέν, ὅτι τῆς ἔξω θαλάττης καὶ τῆς ἐντὸς τοὔδαφος, ἕτερόν ἐστιν· ἔπειθ', ὅτι καὶ νῦν ἔτι ταινία τις ὕφαλος διατέτακεν ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Λιβύην· ὡς ἂν (μὴ adiecit Casaubonus, post eumque plures, ex recentiore autem usu potius ὡς ἂν μιᾶς οὐκ οὔσης emendandum erat.) μιᾶς οὔσης πρότερον τῆς τε ἐντὸς καὶ τῆς ἐκτός. Καὶ βραχύτατα μὲν εἶναι τὰ περὶ τὸν Πόντον· τὸ δὲ Κρητικὸν καὶ Σικελικὸν καὶ Σαρδῷον πέλαγος σφόδρα βαθέα· τῶν γὰρ ποταμῶν πλείστων καὶ μεγίστων ῥεόντων ἀπὸ τῆς ἄρκτου καὶ τῆς ἀνατολῆς, ἐκεῖνο μὲν ἰλύος πληροῦσθαι, τὰ ἄλλα δὲ μένειν βαθέα. διὸ καὶ γλυκυτάτην εἶναι τὴν Ποντικὴν θάλατταν, τάς τ' ἐκρύσεις γίνεσθαι, εἰς οὓς τόπους ἐγκέκλιται τὰ ἐδάφη. Δοκεῖν δὲ κἂν χωσθῆναι τὸν Πόντον ὅλον εἰς ὕστερον, ἂν μένωσιν αἱ ἐπιῤῥύσεις τοιαῦται.

καὶ γὰρ νῦν ἤδη τεναγίζειν τὰ ἐν ἀριστερᾷ τοῦ Πόντου, τό τε (leg. τόν τε; de re vid. Xenoph. Anab. VII, 5, 12.) Σαλμυδησσόν, καὶ τὰ καλούμενα Στήθη ὑπὸ τῶν ναυτικῶν τὰ περὶ τὸν Ἴστρον καὶ τὴν Σκυθῶν ἐρημίαν. Τάχα δὴ καὶ τὸ τοῦ Ἄμμωνος ἱερὸν πρότερον ἐπὶ τῆς θαλάττης ὄν, ἐκρύσεως γενομένης νῦν ἐν τῇ μεσογαίᾳ κεῖσθαι. Εἰκάζειν τε καὶ τὸ μαντεῖον εὐλόγως ἐπὶ τοσοῦτον γενέσθαι ἐπιφανές τε καὶ γνώριμον ἐπὶ θαλάττῃ ὄν· τόν τε (l. δὲ) ἐπιπολὺ οὕτως ἐκτοπισμὸν ἀπὸ τῆς θαλάττης οὐκ εὔλογον ποιεῖν τὴν νῦν οὖσαν ἐπιφάνειαν καὶ δόξαν. Τήν τε Αἴγυπτον τὸ παλαιὸν θαλάττῃ κλύζεσθαι μέχρι τῶν ἑλῶν τῶν περὶ τὸ Πηλούσιον (Hemsterh. ad Plutum p. 55 sq.), καὶ τὸ Κάσιον ὄρος, καὶ τὴν Σερβωνίδα λίμνην· ἔτι γοῦν καὶ νῦν κατὰ τὴν Αἴγυπτον τῆς ἁλμυρίδος ὀρυττομένης, ὑφάμμους καὶ κογχυλιώδεις εὑρίσκεσθαι τοὺς βόθρους, ὡς ἂν τεθαλαττωμένης τῆς χώρας, καὶ τοῦ τόπου παντὸς τοῦ περὶ τὸ Κάσιον καὶ τὰ Γέῤῥα καλούμενα τεναγίζοντος, ὥστε συνάπτειν τῷ τῆς ἐρυθρᾶς κόλπῳ· ἐνδούσης δὲ τῆς θαλάττης ἀνακαλυφθῆναι, μεῖναι δὲ τὴν Σερβωνίδα λίμνην· εἶτ' ἐκραγῆναι καὶ ταύτην, ὥστε ἑλώδη γενέσθαι. Ὣς δ' αὔτως καὶ τῆς Ἀλμυρίδος λίμνης τοὺς αἰγιαλοὺς θαλάττης μᾶλλον ἢ ποταμοῦ προσεοικέναι. Strato igitur mare paullatim recessisse, ac palustria loca nunc sensim sensimque ampliorem ambitum recepisse, nunc fluviis denuo contecta esse opinabatur. Eratosthenis autem in merita illud referendum est, quod quae viri quidam eruditi, ut fecerat dudum Xenophanes, de originibus telluris observarant, ad scientiae normam exegit.

XXXII. Strabo p. 54. Ὁ δ' οὕτως ἡδύς ἐστιν, ὥστε καὶ μαθηματικὸς ὤν, οὐδὲ τὴν Ἀρχιμήδους *) βεβαιοῖ δό-

*) Hic eius mentionem iniecisse videtur, ut colligi potest ex Proclo in Euclidem, de vita Eratosthenis supra allato.

δόξαν· ὅτι φησὶν ἐκεῖνος ἐν τοῖς περὶ τῶν ὀχουμένων, παντὸς ὑγροῦ καθεστηκότος καὶ μένοντος τὴν ἐπιφάνειαν σφαιρικὴν εἶναι, σφαίρας ταὐτὸ κέντρον ἐχούσης τῇ γῇ. Ταύτην γὰρ τὴν δόξαν ἀποδέχονται πάντες οἱ μαθημάτων πως ἁψάμενοι. Ἐκεῖνος δὲ τὴν ἐντὸς θάλατταν, καίπερ μίαν οὖσαν, ὥς φησιν, οὐ νομίζει ὑπὸ μίαν ἐπιφάνειαν τετάχθαι, οὐδὲ τοῖς σύνεγγυς τόποις· καὶ μάρτυράς γε τῆς τοιαύτης ἀμαθίας ἀρχιτέκτονας ἄνδρας ποιεῖται, καίτοι τῶν μαθηματικῶν καὶ τὴν ἀρχιτεκτονικὴν μέρος τῆς μαθηματικῆς ἀποφηναμένων. Φησὶ γὰρ καὶ Δημήτριον διακόπτειν ἐπιχειρῆσαι τὸν τῶν Πελοποννησίων ἰσθμόν, πρὸς τὸ παρασχεῖν διάπλουν τοῖς στόλοις· κωλυθῆναι δ' ὑπὸ τῶν ἀρχιτεκτόνων ἀναμετρησάντων καὶ ἀπαγγειλάντων μετεωροτέραν τὴν ἐν τῷ Κορινθιακῷ κόλπῳ θάλατταν τῆς κατὰ Κεγχρεὰς εἶναι, ὥςτε εἰ διακόψει τὸ μεταξὺ χωρίον, ἐπικλυσθῆναι ἂν ἅπαντα τὸν περὶ Αἴγιναν πόρον καὶ τὴν Αἴγιναν καὶ αὐτὰς τὰς πλησίον νήσους, καὶ μηδὲ τὸν διάπλουν ἂν γενέσθαι χρήσιμον. Διὰ δὲ τοῦτο καὶ τοὺς εὐρίπους ῥοώδεις εἶναι, μάλιστα δὲ τὸν κατὰ Σικελίαν πορθμόν, ὅν φησιν ὁμοιοπαθεῖν ταῖς κατὰ τὸν ὠκεανὸν πλημμυρίσι τε καὶ ἀμπώτεσι· δίς τε γὰρ μεταβάλλειν τὸν ῥοῦν ἑκάστης ἡμέρας καὶ νυκτός, καθάπερ τὸν ὠκεανὸν δὶς μὲν πλημμυρεῖν, δὶς δὲ ἀναχωρεῖν. Idem p. 55. Οὔτ' εἰ τρόπος εἷς εἴη, ταύτην ἂν ἔχοι τὴν αἰτίαν, ἥν φησιν ὁ Ἐρατοσθένης, ὅτι ἡ ἐφ' ἑκάτερα θάλαττα ἄλλην καὶ ἄλλην ἐπιφάνειαν ἔχει. Strabonem sane libenter audimus, cum historias et antiquitates regionum enarrat; at vero quoties adversus Eratosthenem idque mathematicas eiusdem opiniones pugnat, non ridicula, sed vix ferenda est temeritas: suo enim merito qui artis rudissimus in virum apprime omnium iudicio peritum invehitur, deridendum contemnendumque sese propinat. Veluti horum dictorum ne singula quidem sententia quidquam veri exponit. Pri-

mum enim falsum est, quod Strabo perhibet, non tam mala fide se abripi passus, quam geometriae inscientia, Archimedis placitum ab Eratosthene reiectum fuisse. Verumtamen cum sphaericam telluris formam, minus quidem absolutam, docuisset, additis etiam frequentissimis immutationibus, quibus illa interrupta erat, unice a mari derivatis, unde omnis qua latissime patet terrae ambitus emersisset: non poterat non etiam oceanum sphaera circumscribere. Sed exstat disertum ipsius Eratosthenis de ea re testimonium apud eundem Strabonem I. p. 62 extr. (fr. XXXVI.) *δεικνύς, ὅτι σφαιροειδὴς καὶ ἡ γῆ σὺν τῇ ὑγρᾷ φύσει, καὶ ὁ οὐρανός;* nec minus disertum Cleomedis p. 55 extr. sq., qui cum illius dimensionem tradidisset, ita pergit, alteri Eratosthenis sententiae innixus: *Οἱ οὖν λέγοντες μὴ δύνασθαι τὴν γῆν σφαιρικὴν εἶναι διά τε τὰ τῆς θαλάττης κοιλώματα καὶ τὰς τῶν ὀρῶν ἐξοχάς, πάνυ ἀλόγως τοῦτο δοξάζουσι. Οὔτε γὰρ ὄρος ὑψηλότερον πεντεκαίδεκα σταδίων κατὰ τὴν κάθετον εὑρίσκεται, οὔτε θαλάττης βάθος.* Deinde quod Strabo de architectis contra Archimedem prolatis cavillatur, non magis verum deprehendit. Namque eodem tempore et sphaericam maris superficiem concedere, et eandem ad conformationem ubique locorum ponendam redigi posse, iure licebat abnegare. Iam cum in eo versaretur, ut tum Stratonis auctoritate, tum suis ipsius observatis paullatim terram extitisse, mari diversis modis regresso, demonstraret: non facile quis persuaserit, momento quod ab architectorum responso desumpsit eum abstinere debuisse. Eratosthenemne ignorasse, etiam architectonicam mathematicarum disciplinarum partem constituere? Verum haec omnia sunt adeo insulsa, ut non ex Strabonis, sed Hipparchi fabrica, qui et ab ineptis esset liberalis, et aliquoties falsas adversario sententias pessimo exemplo affinxerit, provenisse existimem. In hac ipsa enim disputatione p. 55.

telum satis hebes ex isto armamentario deprompsit. Pergit:

XXXIII. Ἐπιφέρει δὲ τοῖς περὶ τοῦ Ἄμμωνος καὶ τῆς Αἰγύπτου ῥηθεῖσιν, ὅτι δοκοίη καὶ τὸ Κάσιον ὄρος περικλύζεσθαι θαλάττῃ, καὶ πάντα τόπον, ὅπου νῦν τὰ καλούμενα Γέῤῥα, καθ' ἕκαστά τε (delendum τέ) τεναγίζειν, συνάπτοντα τῷ τῆς ἐρυθρᾶς κόλπῳ, συνελθούσης (lege sensu flagitante ἀνελθούσης, Strabonis paraphrasi, τὴν ἀναχώρησιν γενέσθαι, et Stratonis ἐνδούσης fr. XXXI. abunde agnitum.) δὲ τῆς θαλάττης ἀποκαλυφθῆναι. Vocabulum συνάπτειν ab Eratosthene adhibitum monstrant Strabonis sequentia: τὸ δὴ τεναγίζειν τὸν λεχθέντα τόπον, συνάπτοντα τῷ τῆς ἐρυθρᾶς κόλπῳ, ἀμφίβολόν ἐστιν, ἐπειδὴ τὸ συνάπτειν σημαίνει καὶ τὸ σύνεγγυς, καὶ τὸ ψαύειν. Cupide illam plane falsam explicationem praetulit, ut qui illius sententiam de terra super mare eminenti nollet admittere; rectius Hipparchus cuius nugae supra leguntur vocem intellexerat: συνάπτειν hic significare, continuandi vices gerere, cohaerere, Eratosthenis iuxta usus fr. XXVI. LVII. LVIII. evincit, ac disertissimus ille Stratonis locus. Adde antiquiorum auctorum exempla, praeter ea quorum copiam facit Hermanni notula ad Aiac. 1296, Eurip. Phoen. 1390. Suppl. 1014. Heracl. 430. Sophocl. El. 21. Aristoph. Acharn. 694. Iam vero cum omnia hoc fragmento contenta plane eadem extent in Stratonis verbis modo significatis, neque dudum memorata post doctrinam de oceani forma denuo locum adeo commodum reperire potuerint: verisimillimum videtur, Strabonem, eadem iam apposita oblitum, utpote in campo non ita pertractato versantem, atque Hipparchi obiecta persequentem, dum ab huius pendet dictis, quasi nunc demum superioribus annexa intulisse. Omnino haecce de originibus telluris longe aliter constituturus eram, nisi disertis Strabonis testimoniis de ordine fragmento-

rum, altero teste deficiente, auscultare tutius visum fuisset.

XXXIV. Idem I. p. 61 extr. sq. *Τοῦ Ἡροδότου* (IV, 36.) *μηδένας Ὑπερβορέους εἶναι φήσαντος, μηδὲ γὰρ Ὑπερνοτίους λέγοι ἂν* (sic), *φησὶν εἶναι τὴν ἀπόδειξιν ὁμοίαν ὁ Ἐρατοσθένης τῷ σοφίσματι τούτῳ, εἴ τις λέγοι μηδένας εἶναι ἐπιχαιρεκάκους, μηδὲ γὰρ ἐπιχαιραγάθους· κατὰ τύχην τε εἶναι καὶ Ὑπερνοτίους· κατὰ γοῦν τὴν Αἰθιοπίαν μὴ ἐπιπνεῖν νότον, ἀλλὰ καὶ κατωτέρω.* Strabo, argumento satis frigido contra haec obnixus, iustae in quam Herodotus incurrere debuerit reprehensionis ita commonet: *Εἰ δ' ἄρα τι τοῦ Ἡροδότου, τοῦτ' ἐχρῆν αἰτιᾶσθαι, ὅτι τοὺς Ὑπερβορέους τούτους ὑπέλαβε λέγεσθαι, παρ' οἷς ὁ Βορέας οὐ πνεῖ*: Herodotum scilicet non intellexisse, illa voce *τοὺς βορειοτάτους* designari, ratus. Sed vide sinistram philosophandi rationem, qua ne tenuem quidem Nostri allegoriam percipere potuit: qui Herodoti decretum postquam everterat, eo ipso tacite vulgarem sententiam restituit, ita ut *Ὑπερβορέους* habitare potuisse innuerit; an habitarint, id vero prudenter in medio reliquit. Quid tandem huius observationis materiam suppeditarit, ex Strabone erui nequit. Tum ille pergit:

XXXV. *Ἑξῆς δὲ λέγει πρὸς τοὺς φανερῶς πεπλασμένα καὶ ἀδύνατα λέγοντας· τὰ μὲν γὰρ ἐν μύθου σχήματι, τὰ δ' ἱστορίας· περὶ ὧν οὐκ ἄξιον μεμνῆσθαι, οὐδ' ἐκεῖνον ἐχρῆν ἐν ὑποθέσει τοιαύτῃ φλυάρους σκοπεῖν. Ἡ μὲν οὖν πρώτη διέξοδος αὐτῷ τῶν ὑπομνημάτων τοιαύτη.* Vide supra p. 22.

---

## FRAGMENTA LIBRI SECUNDI.

XXXVI. Strabo ib. p. 62. *Ἐν δὲ τῇ δευτέρᾳ πειρᾶται διόρθωσίν τινα ποιεῖσθαι τῆς γεωγραφίας, καὶ τὰς ἑαυτοῦ λέγει ὑπολήψεις. — Τὸ μὲν οὖν τὰς*

μαθηματικὰς ὑποθέσεις ἄγειν καὶ φυσικάς (ita editur, soloece, ne illo quidem τάς sensui conveniente: duplex vitium τινάς pro τάς reposito exemeris.), εὖ λέγεται· καὶ ὅτι εἰ σφαιροειδὴς ἡ γῆ καθάπερ καὶ ὁ κόσμος περιοικεῖται, καὶ τἄλλα τὰ τοιαῦτα. Εἰ δὲ τηλικαύτη, ἡλίκην αὐτὸς εἴρηκεν, οὐχ ὁμολογοῦσιν οἱ ὕστερον, οὐδ' ἐπαινοῦσι τὴν ἀναμέτρησιν· ὅμως δὲ πρὸς τὴν σημείωσιν τῶν κατὰ τὰς οἰκήσεις ἑκάστας φαινομένων πρόσχρηται τοῖς διαστήμασιν ἐκείνοις Ἵππαρχος, ἐπὶ τοῦ διὰ Μερόης καὶ Ἀλεξανδρείας καὶ Βορυσθένους μεσημβρινοῦ μικρὸν παραλλάττειν φήσας παρὰ τὴν ἀλήθειαν. Καὶ περὶ τοῦ σχήματος δ' ἐν τοῖς ἑξῆς διὰ πλειόνων· καὶ δεικνύς, ὅτι σφαιροειδὴς καὶ ἡ γῆ σὺν τῇ ὑγρᾷ φύσει, καὶ ὁ οὐρανός, ἀλλοτριολογεῖν ἂν δόξειεν· ἀρκεῖ γὰρ τὸ ἐπὶ μικρόν. De exiguo illo errore quem Hipparchus notavit in sequentibus (fr. XLII.) dicetur; mathematica vero fragmenta, ab Strabone non prorsus reiecta, breviter tamen ut quae ab ipsius intellectu essent remota prodeuntia, deinceps huic prooemio adiungenda sunt. Eorum quae quidem ipsis perpauca essent cognita omnia titulorum collatores, Galeus, et, quod mireris, Fabricius, pro singulari sua sollertia ad *Dimensionum* (*Μετρήσεων*) opus rettulerunt, neque illis plus vidisse Seidelius dici potest, qui p. 48. dimensionis fragmentum a Cleomede servatum probabiliter ad Geographicorum librum secundum pertinere pronunciarit: ad id nimirum non ita magno acumine opus erat, ut quod ex Strabone manifesto demonstrari queat. Fabricius quidem etiam in eo errat, quod Bibl. Gr. IV. p. 124. ab isto opusculo superbam orbis terrarum mensoris, qua Censorinus Eratosthenem decoravit, significationem derivat; nec quidquam prodest Harlesii coniectura, amplius quam de mensura illic actum fuisse, duobus Plutarchi qui dicitur de placitis philosophorum locis ex verisimilitudine sese colligere: quod quo valeat,

ne ipsum quidem percepisse existimem. Unus qui distincte libros dimensionum memoravit est Macrobius, neque per se testis locupletissimus, neque in hac de Eratosthene disceptatione cuiuscunque momenti, quippe cuius tria fragmenta nihil quod non aliunde vel doceamur vel ab eo depromi potuerit enarrent. Sed quoniam et loca ad mensurarum genus spectantia ea sunt, quae in Geographicis appositum sane ordinem constituere queant, et prudentissimi antiquorum hominum qua erant breviloquentia semel profligandum iterum iterumque occinere dedignabantur: nullum dimensionum opus Eratosthenicum unquam extitisse certissime concluditur.

XXXVII. Ptolemaeus magnae syntaxis I, 16. extr. (p. 18. init. Basil. 1538.) — *κατελαβόμεθα τὴν ἀπὸ τοῦ βορειοτάτου πέρατος ἐπὶ τὸ νοτιώτατον περιφέρειαν, ἥτις ἐστὶν ἡ μεταξὺ τῶν τροπικῶν τμημάτων, πάντοτε γινομένην μζ̄ καὶ μείζονος μὲν ἢ διμοίρου τμήματος, ἐλάσσονος δὲ ἡμίσους τετάρτου· δι' οὗ συνάγεται σχεδὸν ὁ αὐτὸς λόγος τῷ τοῦ Ἐρατοσθένους, ᾧ καὶ ὁ Ἵππαρχος συνεχρήσατο. Γίνεται γὰρ τοιούτων ἡ μεταξὺ τῶν τροπικῶν ιᾱ ἔγγιστα, οἵων ἐστὶν ὁ μεσημβρινὸς πγ̄.* Ita haec a Theone p. 60. init. explicantur: *καὶ οὗτος ὁ λόγος ὁ αὐτὸς σχεδὸν τῷ τοῦ Ἐρατοσθένους, ᾧ καὶ ὁ Ἵππαρχος ἐχρήσατο, ὡς ἀκριβῶς εἰλημμένῳ. καὶ γὰρ ὁ Ἐρατοσθένης διαιρήσας τὸν ὅλον κύκλον πγ̄, εὕρισκε τὴν μεταξὺ τῶν τροπικῶν, τῶν αὐτῶν *) ιᾱ, καὶ ἔστιν ὡς τξ̄ πρὸς μζ̄ μβ' μ'', οὕτως πγ̄, ιᾱ.* (*πρὸς ιᾱ.*)

*) Lege *τὴν εὐθεῖαν*; ac ne repetitum mireris articulum, considera primum Strabon. I. p. 43. *τὰ μὲν γὰρ Ὁμήρου τὰ περὶ τὸν Πόντον*, quod Heynium ad Apollod. p. 418. offendit. Procli in Euclid. Elem. II. p. 31. *τὰς μὲν ὑπὸ Μεναίχμου τὰς κωνικάς*. Theon. fr. seq. et testes inferiores, Schol. Aesch. Prom. *β'*. 684. *τὰ εἰς ἐμὲ τὰ γενόμενα*. Schol. Arist. Equit. 642. Non pauca huius moduli praebet Pausanias, de cuius usu v. Sylburg. p. 242. 929. Istius observationis utilitatem certe unus Schol.

XXXVIII. Idem Theo p. 71. *ἡ δὲ τῆς αβ̄ περιφερείας διπλῆ κατὰ τὸν συμπεφωνημένον ἡμῖν τὸν τοῦ Ἐρατοσθένου(ς) λόγον, τὸν τῶν πγ̄ πρὸς τὰ ιᾱ, μοιρῶν ἐστι μζ̄ μβ′ μ″, ἡ δὲ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων μη̄ λα′ νε″.*

---

Pind. Ol. VII, 138. declaret, ubi legendum, *τὴν γὰρ πατρῴαν αὐτῶν τὴν νῆσον*, inutili *αὐτὴν* sublato. Neque erat quod Schol. Aeschyli Agam. 137. corrigeretur, Lucianive T. I. p. 64. Nunc nobilissimos certissimosque proferam auctores, Sophocl. Oedip. R. 1481. *ὡς τὰς ἀδελφὰς τάςδε τὰς ἐμὰς χέρας.* Eurip. Orest. 202. *τό τ' ἐμὸν οἴχεται βίου τὸ πλεῖον μέρος.* Arist. Eq. 995, 96. non perspectum Kustero: *τὴν Δωριστὶ μόνην ἂν ἁρμόττεσθαι θαμὰ τὴν λύραν.* Aristot. ap. Athen. XI. p. 505. C. *ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηΐου τοὺς πρώτους γραφέντας τῶν Σωκρατικῶν διαλόγων.* Interpreti, dum ait: aut Alexameni Teii dialogos, *qui ante Socraticos conscripti sunt*, soloecismus obversabatur. Alexis ap. Athen. IV. p. 164 extr. sive VI. p. 229. B.

*ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος*
*ὁ τοῖς μαγείροις.*

Iam novissimi Ecclesiazusarum interpretis audi eruditionem p. 694. „Toupius eleganter se coniecisse ait *τὴν κατάπρωκτον — τὴν τέχνην.* Eodem sermonis vitio ap. Plat. Legg. p. 28. Ast. olim legebatur *τὴν ναυτικὴν τὴν ἐπιστήμην*, et similia hic illic librariorum culpa." Quibus hominis tantum arrogantissimi reprehensio, Aristophani eiusmodi locutionem ingerentis, recte administratur. Proinde erit, quo contra intelligentioris iudicis, Schaeferi, qui quidem paullo ante ad Theocriti IV, 21. duos huius poetae locos observarat, suspicionem Sophocl. Trach. 445. *ὥςτ' εἴ τι τὠμῷ τἀνδρί*, tuearis. Sed tamen aegre critico repetitum eiusmodi articulum concesserim; perperam certe Bentleius *τὸ Δωδωναῖον ἂν τὸ χαλκίον* Menandreis intulit p. 14, Schweighaeuserus *τὰ λοιπὰ τὰ χωρία* Athenaeo III. p. 76. A. Insignis Graeci sermonis volubilitas vel hoc usu cognoscitur: qui, huius si loci, *ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν, τὴν πολύκλαυτόν τ' Ἰφιγένειαν·* similes comparentur, nihil adeo difficultatis inhaeserit. Quin propius etiam haec loca accedunt, unde singularem eam constructionem fere derives. Aristoph. Pluti 814, 15.

*— τοὺς δὲ πινακίσκους, τοὺς σαπρούς,*
*τοὺς ἰχθυηρούς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.*

Nub. 763, 64.

*ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον*
*ταύτην ἑώρας, τὴν καλήν, τὴν διαφανῆ.*

Compara, ne longus sim, Avium 1005. Tagenist. fragm. IV. apud Athenaeum Nicocharem VII. p. 328. E. Anthippum IX. p. 404. C. Pherecratem XI. p. 481. B. Antiphanem XV. p. 666. F. Sed inprimis est memorabilis Equitum versus 1328. *ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ, ταῖς ἀρχαίαισιν Ἀθήναις.* Quae tamen Theopompus dixit ap. Athen. XII. p. 532. B. *διὰ τὴν πολυτέλειαν τὴν αὐτοῦ* (his uti debuerat Heindorf. ad Gorg. p. 58.) *τὴν περὶ τὸν βίον*, nimia sunt licentia profusa.

**XXXIX.** Idem Theo p. 23. *τὴν δὲ ἀπὸ τῶν ὑψηλοτάτων ὀρῶν ἐπὶ τὰ χθαμαλώτερα πίπτουσαν κάθετον δείκνυσιν Ἐρατοσθένης διὰ τῶν ἐξ ἀποστημάτων μετρουσῶν διοπτρῶν σταδίων ι̅.* Simplicius ad Aristot. de Coelo lib. II. extr. fol. 136. v. *ὁ γὰρ Ἐρατοσθένης τὴν ἀπὸ τῶν ὑψηλοτάτων ὀρῶν πρὸς τὰ ὑφειμένα πίπτουσαν κάθετον δείκνυσι, διὰ τῆς διόπτρας ἀναμετρήσας ἐκ τῶν ἀποστημάτων, ὑπάρχουσαν σταδίων δέκα.* Quae loca unum idemque valent; unde haud scio an ex Cleomede p. 56. (supra p. 50.) numerus minus suspectus *ιέ* restituendus sit.

**XL.** Joh. Lydus de mensibus p. 39. sq. *ἀφεστάναι δὲ λόγος ἀπὸ τῆς γῆς κατὰ τὸν Ἐρατοσθένην τὴν μὲν σελήνην σταδίων μυριάδας ἑβδομήκοντα ὀκτώ, τὸν δὲ ἥλιον τετρακοσίας καὶ ὀκτάκις μυρίας* (leg. *μυριάδας*). Eusebii Praep. Ev. XV, 53. *Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίων μυριάδας τετρακοσίας καὶ ὀκτακισμυρίας, τὴν δὲ σελήνην ἀπέχειν τῆς γῆς μυριάδας οη̅ σταδίων.* Stobaeus Eclog. phys. I, 27. p. 566. Heer. (p. 61, 8. Canter.) *Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίων μυρίων* (hoc delendum) *μυριάδας τετρακοσίας καὶ στάδια ὀκτάκις μύρια· τὴν δὲ σελήνην ἀπέχειν ἀπὸ τῆς γῆς μυριάδας ἑβδομήκοντα ὀκτὼ σταδίων.* Eadem in opere Galenico leguntur. Lacunosa sunt Placita philosoph. II, 31. *Περὶ ἀποστήματος σελήνης, ὃ ἀφέστηκε τοῦ ἡλίου*] — *Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας ἑβδομήκοντα ὀκτώ.* Desunt igitur, quae de distantia solis a luna disseruerunt. Turbat Corsinus: at in Eusebio, ait, et Galeno vox *μυριάδων* omittebatur, adeoque solis a tellure distantia in hac lectione quam Stobaeanae praetulerim minuenda foret.

**XLI.** Macrobius in Somn. Scip. I, 20. p. 100. Eratosthenes in libris dimensionum sic ait: Mensura terrae septies et vicies multiplicata mensuram solis ef-

ficiet. Heumannus in Fabricii Bibl. Gr. l. l. emendat, septies, et decies.

His rationibus longe celebrior ea, qua Eratosthenica dimensio ambitus terrestris nitebatur, apud Cleomedem Cycl. Theor. c. 10. accuratissime explicita reperitur. Is postquam in universum monuerat, *περὶ δὲ τοῦ μεγέθους τῆς γῆς πλείους μὲν γεγόνασι δόξαι παρὰ τοῖς φυσικοῖς, βελτίους δὲ τῶν ἄλλων εἰσὶν ἥ τε τοῦ Ποσειδωνίου καὶ ἡ Ἐρατοσθένους*, pergit p. 52 sqq., exposita Posidonii sententia.

XLII. *Ἡ δὲ τοῦ Ἐρατοσθένους γεωμετρικῆς ἐφόδου ἐχομένη καὶ δοκοῦσά τι ἀσαφέστερον ἔχειν, ποιήσει δὲ σαφῆ τὰ λεγόμενα ὑπ' αὐτοῦ, τάδε προϋποθεμένων ἡμῶν. Ὑποκείσθω ἡμῖν πρῶτον μὲν κἀνταῦθα, ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι Συήνην καὶ Ἀλεξάνδρειαν, καὶ τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων πεντακισχιλίων σταδίων εἶναι, καὶ τρίτον, τὰς καταπεμπομένας ἀκτῖνας ἀπὸ διαφόρων μερῶν τοῦ ἡλίου ἐπὶ διάφορα μέρη τῆς γῆς παραλλήλους εἶναι· οὕτως γὰρ ἔχειν αὐτὰς οἱ γεωμέτραι ὑποτίθενται. Τέταρτον, ἐκεῖνο ὑποκείσθω δεικνύμενον παρὰ τοῖς γεωμέτραις, τὰς εἰς παραλλήλους ἐμπιπτούσας εὐθείας τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν. Πέμπτον, τὰς ἐπὶ ἴσων γωνιῶν βεβηκυίας περιφερείας ὁμοίας εἶναι, τοῦτο ἔστιν, τὴν αὐτὴν ἀναλογίαν καὶ τὸν αὐτὸν ἔχειν λόγον πρὸς τοὺς οἰκείους κύκλους· δεικνυμένου καὶ τούτου παρὰ τοῖς γεωμέτραις. Ὁπόταν γὰρ περιφέρειαι ἐπὶ ἴσων γωνιῶν ὦσι βεβηκυῖαι, ἂν μία ἡτισοῦν αὐτῶν δέκατον ᾖ μέρος τοῦ οἰκείου κύκλου, καὶ αἱ λοιπαὶ πᾶσαι δέκατα μέρη γενήσονται τῶν οἰκείων κύκλων. Τούτων ὁ κατακρατήσας οὐκ ἂν χαλεπῶς τὴν ἔφοδον τοῦ Ἐρατοσθένους καταμάθοι, ἔχουσαν οὕτως. Ὑπὸ τῷ αὐτῷ κεῖσθαί φησι μεσημβρινῷ Συήνην καὶ Ἀλεξάνδρειαν. Ἐπεὶ οὖν μέγιστοι τῶν ἐν τῷ κόσμῳ οἱ μεσημβρινοί, δεῖ καὶ τοὺς ὑποκειμένους αὐτοῖς τῆς γῆς κύκλους με-*

γίστους εἶναι ἀναγκαίως. Ὥςτε ἡλίκον ἂν τὸν διὰ Συήνης καὶ Ἀλεξανδρείας ἥκοντα κύκλον τῆς γῆς ἡ ἔφοδος ἀποδείξει αὕτη, τηλικοῦτός ἐστιν ὁ μέγιστος τῆς γῆς κύκλος. Φησὶ τοίνυν, καὶ ἔχει οὕτως, τὴν Συήνην ὑπὸ τῷ θερινῷ τροπικῷ κεῖσθαι κύκλῳ. Ὁπόταν οὖν ἐν καρκίνῳ γενόμενος ὁ ἥλιος καὶ θερινὰς ποιῶν τροπὰς ἀκριβῶς μεσουρανήσῃ, ἄσκιοι γίνονται οἱ τῶν ὡρολογίων γνώμονες ἀναγκαίως, κατὰ κάθετον ἀκριβῆ τοῦ ἡλίου ὑποκειμένου· καὶ τοῦτο (forte ταῦτα) γίνεσθαι λόγος ἐπὶ σταδίους τριακοσίους τὴν διάμετρον. Ἐν Ἀλεξανδρείᾳ δὲ τῇ αὐτῇ ὥρᾳ ἀποβάλλουσιν οἱ τῶν ὡρολογίων γνώμονες σκιάν, ἅτε πρὸς ἄρκτῳ μᾶλλον τῆς Συήνης ταύτης τῆς πόλεως κειμένης. Ὑπὸ τῷ μεσημβρινῷ τοίνυν καὶ μεγίστῳ κύκλῳ τῶν πόλεων κειμένων, ἂν περιαγάγωμεν περιφέρειαν ἀπὸ τοῦ ἄκρου τῆς τοῦ γνώμονος σκιᾶς ἐπὶ τὴν βάσιν αὐτὴν τοῦ γνώμονος, τοῦ ἐν Ἀλεξανδρείᾳ ὡρολογίου, αὕτη (vulgo αὐτὴ) ἡ περιφέρεια τμῆμα τοῦ μεγίστου τῶν ἐν τῇ σκάφῃ κύκλων, ἐπεὶ μεγίστῳ κύκλῳ ὑπόκειται ἡ τοῦ ὡρολογίου σκάφη. Εἰ οὖν ἑξῆς νοήσαιμεν εὐθείας διὰ τῆς γῆς ἐκβαλλομένας ἀφ᾽ ἑκατέρου τῶν γνωμόνων, πρὸς τῷ κέντρῳ τῆς γῆς συμπεσοῦνται. Ἐπεὶ οὖν τὸ ἐν τῇ Συήνῃ ὡρολόγιον κατὰ κάθετον ὑπόκειται τῷ ἡλίῳ, ἂν ἐπινοήσωμεν εὐθεῖαν ἀπὸ τοῦ ἡλίου ἥκουσαν ἐπ᾽ ἄκρον τοῦ ὡρολογίου γνώμονα, μία γενήσεται εὐθεῖα, ἡ ἀπὸ τοῦ ἡλίου μέχρι τοῦ κέντρου τῆς γῆς ἥκουσα. Ἐὰν οὖν ἑτέραν εὐθεῖαν νοήσωμεν ἀπὸ τοῦ ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τοῦ ἡλίου ἀναγομένην ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ σκάφης, αὕτη (vulgo αὐτὴ) καὶ ἡ προειρημένη εὐθεῖα παράλληλοι γενήσονται, ἀπὸ διαφόρων γε τοῦ ἡλίου μερῶν ἐπὶ διάφορα μέρη τῆς γῆς διήκουσαι. Εἰς ταύτας τοίνυν παραλλήλους οὔσας ἐμπίπτει εὐθεῖα, ἡ ἀπὸ κέντρου τῆς γῆς ἐπὶ τὸν ἐν Ἀλεξανδρείᾳ γνώμονα ἥκουσα, ὥςτε τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν· ὧν ἡ μέν ἐστιν

πρὸς τῷ κέντρῳ τῆς γῆς κατὰ σύμπτωσιν εὐθειῶν, αἳ ἀπὸ τῶν ὡρολογίων ἤχθησαν ἐπὶ τὸ κέντρον τῆς γῆς, γενομένη, ἡ δὲ κατὰ σύμπτωσιν ἄκρου τοῦ ἐν Ἀλεξανδρείᾳ γνώμονος, καὶ τῆς ἀπ' ἄκρας αὐτοῦ τῆς σκιᾶς ἐπὶ τὸν ἥλιον διὰ τῆς πρὸς αὐτὸν ψαύσεως ἀναχθείσης γεγενημένη. Καὶ ἐπὶ μὲν ταύτης βέβηκε περιφέρεια, ἡ ἀπ' ἄκρας τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τὴν βάσιν αὐτοῦ περιαχθεῖσα· ἐπὶ δὲ τῆς πρὸς τῷ κέντρῳ τῆς γῆς, ἡ ἀπὸ Συήνης, διήκουσα εἰς Ἀλεξάνδρειαν. Ὅμοιαι τοίνυν αἱ περιφέρειαί εἰσιν ἀλλήλαις, ἐπὶ ἴσων γωνιῶν βεβηκυῖαι. Ὃν ἄρα λόγον ἔχει ἡ ἐν τῇ σκάφῃ πρὸς τὸν οἰκεῖον κύκλον, τοῦτον ἔχει λόγον καὶ ἡ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν ἥκουσα. Ἡ δέ γε ἐν τῇ σκάφῃ πεντηκοστὸν μέρος εὑρίσκεται τοῦ οἰκείου κύκλου· δεῖ οὖν ἀναγκαίως καὶ τὸ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν διάστημα πεντηκοστὸν εἶναι μέρος τοῦ μεγίστου τῆς γῆς κύκλου. Καὶ ἔστι τοῦτο σταδίων πεντακισχιλίων. Ὁ ἄρα σύμπας κύκλος γίνεται μυριάδων εἴκοσι πέντε. Καὶ ἡ μὲν Ἐρατοσθένους ἔφοδος τοιαύτη. Cf. fr. CXXIII. Cleomedem supplet Martianus Capella VI. p. 194. Circulum quidem terrae ducentis quinquaginta duobus millibus stadiorum, ut ab Eratosthene doctissimo gnomonica supputatione discussum. Quippe scaphia dicuntur rotunda ex aere vasa, quae horarum ductus stili in medio fundo sua proceritate discriminant, qui stilus gnomon appellatur, cuius umbrae prolixitas aequinoctio centri sui extimatione dimensa, vigies quater complicata, circuli duplicis modum reddit. Eratosthenes vero a Syene ad Meroen per mensores regios Ptolemaei certus de stadiorum numero redditus, quotaque portio telluris esset advertens, multiplicansque pro partium ratione circulum, mensuramque (l. mensuram) terrae incunctanter, quot millibus stadiorum ambiretur, absolvit. Rationem universam illustravit R. Balforeus ad Cleomed. p. 219 sq., et erudite de la Nauze

(Mem. de l'Acad. d. Inscr. t. 26. Remarques sur Eratosthène à l'occasion de la latitude de Syéne.) p. 101 — 111, qui Eratosthenem observavit Alexandriae latitudinem 31° 12′ posuisse, novissimis temporibus 31° 11′ 20″ repertam: quae quadraginta secundarum differentia exigui est momenti. Illam Hipparchus in fr. XXXVI. innuisse videtur. Sed ambitus aequatoris sive maximi cuiusque circuli 250,000 stadiorum modo admittebatur, modo utpote uno nixus Cleomede reiectus est. Nam Balforeum p. 221. mirari subiit, ceteros auctores, hac ipsa ratiocinatione aliud demonstrante, 252,000 constanter ex Eratosthenis mente asseverare; Gossellinus contra Cleomedis testimonium permultis locis obstantibus praeponi debere negat (Géogr. des Grecs analysée p. 7.), praeeunte Fello p. 39, qui illam dimensionem collectioni suae inseruerat. Neutram ego viam pensiculate indagatam fuisse existimo. Quotquot enim sententias Cleomedes exposuit, adeo inter se connexae sunt et aptae, ut suo merito non possit temeritatis accusari; neque ita liquet, unde quinquagenarium numerum intrudere sustinuerit; at vero cum praeter alios Strabo vicibus iteratis duo millia stadiorum adiecerit, eumque calculum divisus ut apparet (cf. Strab. II. p. 132.) ab Eratosthene maximus circulus in trecentas sexaginta sectiones, septingentis stadiis per singulas confectis, omni eximat dubio: ne de huius quidem narrationis veritate est quod disceptetur. Jam vero istas difficultates non adeo magno molimine dissolveris. Ex accurata enim ratiocinatione numerum Cleomedis Eratostheni provenire debuisse intelligitur; at illa damnosa futura erat, si necessario disponendae tabularum partes ei velut normae et fundamento superstruerentur. Nihil igitur mirum, quod numerum geometrica ratione collectum paucis stadiis adauctum ad iustam mensuram transferre malebat. Antiquos enim

geographos neque in stadiis demendis addendisve magnopere verecundos fuisse, neque calculos sibi pro verissimis habitos, si modo sat idoneis momentis adducerentur, commodiori antetulisse sententiae, prout Hipparchus fecit exemplo supra explicito, certissime constat. Vid. notata ad fr. LII. Ceterum novum opus Gnomonicen ex Vitruvio et Cleomede Galeum comminisci potuisse, vix quisquam crediderit.

Igitur computatio qualem plerique testes litteris prodiderunt tali modo sese habet:

XLIII. Strabo II. p. 113. *Ὄντος δὴ κατ' Ἐρατοσθένη τοῦ ἰσημερινοῦ κύκλου σταδίων μυριάδων πέντε καὶ εἴκοσι καὶ δισχιλίων.* p. 123. *ὑποθέμενος, ὥσπερ ἐκεῖνος (Ἵππαρχος), εἶναι τὸ μέγεθος τῆς γῆς σταδίων εἴκοσι πέντε μυριάδων καὶ δισχιλίων· ὡς καὶ Ἐρατοσθένης ἀποδίδωσιν· οὐ μεγάλη γὰρ παρὰ τοῦτ' ἔσται διαφορὰ πρὸς τὰ φαινόμενα ἐν τοῖς μεταξὺ τῶν οἰκήσεων διαστήμασιν.* Vitruvius I, 6. Si autem animadverterint, orbis terrae circuitionem per solis cursum et gnomonis aequinoctialis umbras in inclinatione coeli ab Eratosthene Cyrenaeo rationibus mathematicis et geometricis methodis esse inventam ducentorum quinquaginta duum millium stadiorum, quae fiunt passus semel et tricies millies mille et quingenties mille. — Sunt autem nonnulli, qui negant Eratosthenem veram mensuram orbis terrae potuisse colligere. Admirabundus pro more Plinius II, 112. Universum autem hunc circuitum Eratosthenes, in omnium quidem litterarum subtilitate, et in hac utique praeter ceteros sollers, quem cunctis probari video, ducentorum quinquaginta duorum millium stadium prodidit; quae mensura Romana computatione *) efficit trecenties quindecies centena millia

*) Eam cum stadiis Eratosthenis ita componit Harmenopulus *προχείρου* II. tit. 4. p. 115. *Τὸ μίλιον κατὰ μὲν Ἐρατοσθένην καὶ Στράβωνα τοὺς γεωγράφους ἔχει σταδίους η̅. καὶ γ̅. ἤτοι οὐργίας ωλ̅ζ̅.*

pass. Improbum ausum, verum ita subtili argumentatione comprehensum, ut pudeat non credere. Hipparchus, et in coarguendo eo, et in reliqua omni diligentia mirus, adiicit stadiorum paullo minus XXV. millia. CENSORINUS c. 13. p. 59. Ut Eratosthenes geometrica ratione collegit, maximum terrae circuitum esse stadiorum CCLII. millium. IOH. PHILOPONUS in Aristot. Meteor. I. p. 79. *Ἀῤῥιανὸς δὲ ἐν τῷ περὶ μετεώρων φησίν, ὡς Ἐρατοσθένης ὁ Κυρηναῖος ἰσχυρίζεται, εἴκοσι καὶ πέντε μυριάδας σταδίων ἔχειν τὸν περίμετρον τοῦ μεγίστου τῆς γῆς κύκλου.* MARCIANUS HERACLEOTA periplo p. 6. Huds. *Ἐρατοσθένης μὲν ὁ Κυρηναῖος τὴν μεγίστην περιφέρειαν τῆς ἐγνωσμένης ἁπάσης γῆς εἶναι λέγει σταδίους μ. κε'. καὶ ϑσ'.* Recte Hudsonus *σταδίων μ.* (i. e. myriadas) *κε'. καὶ β;* male, quod libellum Eratosthenis *περὶ μέτρου τῆς γῆς περιφερείας*, sive Cleomedis locum, excusum Oxon. 1672. (apud Fellum) affert. Non satis liquet, unde suam sapientiam elicuerit MARTIANUS CAPELLA VIII, 289. Ab Eratosthene Archimedeque persuasum, in circuitu terrae esse CCCCVI. millia stadiorum et decem stadia: quae decem stadia Plinius si comperta habuisset, puduisset eum credo tam nugacium commentorum. Negligenter etiam Gossellinus Macrobii locum (fr. XLI.) ad illam dimensionem referebat. Ceterum monuit de la Nauze supra laudatus p. 107. Eratosthenem per singulos gradus mensuram paene Germanicum milliare aequiparantem neglexisse, qualem errorem remotis illis temporibus facile condonandum esse.

XLIV. STRABO I. p. 62. extr. sq. *Ἑξῆς δὲ τὸ πλάτος τῆς οἰκουμένης ἀφορίζων, φησίν, ἀπὸ μὲν Μερόης ἀπὸ*) τοῦ δι' αὐτῆς μεσημβρινοῦ μέχρι Ἀλεξαν-*

---

*) Hunc praepositionis usum ipse Strabo libri II. initio, maxime vero Cleomedes supra allatus p. 54. (ed. Balf.) contra Lipsiensis editoris lectionem *ἐπί* confirmat.

ὀρείας εἶναι μυρίους· ἔνθεν δὲ εἰς τὸν Ἑλλήςποντον περὶ ὀκτακιςχιλίους ἑκατὸν σταδίους· εἶτ' εἰς Βορυσθένη πεντακιςχιλίους· εἶτ' ἐπὶ τὸν κύκλον τὸν διὰ Θούλης, ὅν φησι Πυθέας ἀπὸ μὲν τῆς Βρεταννικῆς ἓξ ἡμερῶν πλοῦν ἀπέχειν πρὸς ἄρκτον, ἐγγὺς δ' εἶναι τῆς πεπηγυίας θαλάττης, ἄλλους ὡς μυρίους χιλίους πεντακοσίους. Ἐὰν οὖν ἔτι προσθῶμεν ὑπὲρ τὴν Μερόην ἄλλους τριςχιλίους τετρακοσίους, ἵνα καὶ τὴν τῶν Αἰγυπτίων νῆσον ἔχωμεν, καὶ τὴν κινναμωμοφόρον, καὶ τὴν Ταπροβάνην, ἔσεσθαι σταδίους τριςμυρίους ὀκτακιςχιλίους. Errorem de intervallo quod a Borysthene ad Thulen posuit commissum auctoritate Pytheae, notavit Strabo post Hipparchum: de quo quid sentiendum sit, dictum p. 20.

XLV. Strabo p. 63 sq. Διαμαρτὼν δε τοῦ πλάτους, ἠνάγκασται καὶ τοῦ μήκους ἀστοχεῖν. Ὅτι μὲν γὰρ πλέον ἢ διπλάσιον τὸ γνώριμον μῆκός ἐστι τοῦ γνωρίμου πλάτους, ὁμολογοῦσι καὶ οἱ ὕστερον, καὶ τῶν ἄλλων οἱ χαριέστατοι *). — Ὁρίσας δὲ τὸ λεχθὲν πλάτος, τὸ ἀπὸ τῶν ἐσχάτων Αἰθιόπων μέχρι τοῦ διὰ Θούλης, ἐκτείνει πλέον ἤδη τὸ μῆκος, ἵνα ποιήσῃ πλέον ἢ διπλάσιον τοῦ λεχθέντος πλάτους. Φησὶ δ' οὖν, τὸ μὲν τῆς Ἰνδικῆς μέχρι τοῦ Ἰνδοῦ ποταμοῦ, τὸ στενώτατον, σταδίων μυρίων ἑξακισχιλίων· τὸ γὰρ ἐπὶ τὰ ἀκρωτήρια τεῖναν, τριςχιλίοις (lege τριςχιλίους, ἢ omisso) εἶναι μεῖζον· τὸ δὲ ἔνθεν ἐπὶ Κασπίους πύλας μυρίων τε καὶ τετρακισχιλίων· εἶτ' ἐπὶ τὸν Εὐφράτην μυρίων· ἐπὶ δὲ τὸν Νεῖλον ἀπὸ τοῦ Εὐφράτου πεντακιςχιλίων· ἄλλους δὲ χιλίους καὶ τριακοσίους μέχρι Κανωβικοῦ στόματος· εἶτα μέχρι τῆς Καρχηδόνος μυρίους τριςχιλίους πεντακοσίους· εἶτα μέχρι στηλῶν ὀκτακιςχιλίους τοὐλάχιστον. ὑπεραίρειν δὲ τῶν ἑπτὰ μυριάδων ὀκτακοσίοις.

*) Agathemerus de geogr. I. init. in Gronovii geograph. antiq. p. 174. Εὔδοξος δὲ τὸ μῆκος (τῆς γῆς) διπλοῦν τοῦ πλάτους, ὁ δὲ Ἐρατοσθένης πλεῖον τοῦ διπλοῦ.

δεῖν δὲ*) ἔτι προςθεῖναι τὸ ἐκτὸς Ἡρακλείων στηλῶν κύρτωμα τῆς Εὐρώπης, ἀντικείμενον μὲν τοῖς Ἴβηρσι, προπεπτωκὸς δὲ πρὸς τὴν ἑσπέραν, οὐκ ἔλαττον σταδίων τριςχιλίων· καὶ τὰ ἀκρωτήρια τά τε ἄλλα καὶ τὸ τῶν Ὠστιδαμνίων, ὃ καλεῖται Κάλβιον, καὶ τὰς κατὰ τοῦτο νήσους, ὧν τὴν ἐσχάτην Οὐξισάμην φησὶ Πυθέας ἀπέχειν ἡμερῶν τριῶν πλοῦν. Ταῦτα δ' εἰπὼν τὰ τελευταῖα οὐδὲν πρὸς τὸ μῆκος συντείνοντα, προςέθηκε τὰ περὶ τῶν ἀκρωτηρίων, καὶ τῶν Ὠστιδαμνίων, καὶ τῆς Οὐξισάμης, καὶ ὧν φησι νήσων. ταῦτα γὰρ πάντα προςάρκτιά ἐστι καὶ Κελτικὰ καὶ οὐκ Ἰβηρικά, μᾶλλον δὲ Πυθέου πλάσματα. [Εἶτα] προςτίθησι τοῖς εἰρημένοις τοῦ μήκους διαστήμασιν ἄλλους σταδίους διςχιλίους μὲν πρὸς τῇ δύσει, διςχιλίους δὲ πρὸς τῇ ἀνατολῇ, ἵνα σώσῃ τὸ πλέον ἥμισυ τοῦ μήκους τὸ πλάτος εἶναι (leg. τό, πλέον ἢ διπλάσιον τὸ μῆκος τοῦ πλάτους εἶναι). Hisce septuaginta stadiorum millia praeter octingenta colliguntur, quae cum latitudinem duodequadraginta millium duplicatam nondum transgrediantur, intervallum vero orientale maius esse sequentibus doceatur, apparet iam διςχιλίους δὲ πρὸς τῇ ἀνατολῇ peccatum numeri prae se ferre; cui quale sit remedium admovendum latet. Jam rationes Eratosthenis loco apprime corrupto Strabo p. 64. sq. continuat:

XLVI. Παραμυθούμενος δ' ἐπὶ πλέον, ὅτι κατὰ φύσιν ἐστὶ τὸ ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν διάστημα μεῖζον λέγειν, κατὰ φύσιν φησὶν εἶναι, ἀπὸ τῆς ἕω πρὸς τὴν ἑσπέραν μακροτέραν εἶναι τὴν οἰκουμένην. *** καθάπερ εἰρήκαμεν, ὡς οἱ μαθηματικοί, φησὶ κύκλον συνάπτειν, συμβάλλουσαν ἑαυτὴν ἑαυτῇ. Neque lacuna, neque corruptelae verborum hucusque feliciter sublatae sunt;

*) Lege γάρ; numeri enim hucusque appositi cum 67,800 stadia compleant, tum demum 70,800 efficient, cum tria millia addideris.

sunt; praeterea post voces *ὡς οἱ μαθηματικοί*, quae Strabonis sunt, non Eratosthenis, plura exciderunt. Illis haec statim annectuntur: *Ὥστ' εἰ μὴ τὸ μέγεθος τοῦ Ἀτλαντικοῦ πελάγους ἐκώλυε, κἂν πλεῖν ἡμᾶς ἐκ τῆς Ἰβηρίας εἰς τὴν Ἰνδικὴν διὰ τοῦ αὐτοῦ παραλλήλου, τὸ λοιπὸν μέρος παρὰ τὸ λεχθὲν διάστημα, ὑπὲρ τὸ τρίτον μέρος ὂν τοῦ ὅλου κύκλου, εἴπερ ὁ διὰ Θινῶν ἐλάττων ἐστὶν εἴκοσι μυριάδων· ὅπου πεποιήμεθα τὸν εἰρημένον σταδιασμὸν ἀπὸ τῆς Ἰνδικῆς εἰς τὴν Ἰβηρίαν.* Aegre sane ferendum, in locum gravissimum tantam cladem grassatam fuisse; clarissime enim quae ruinam effugerunt, illam Columbi sententiam de nova terra detegenda Nostro utpote priori esse inventori assignandam significant.

Huic de intervallis disquisitioni apta videntur sequentia mensurarum fragm.

XLVII. Plinius VI, 35. p. 345. Eratosth. [Syenae ad Meroen distantiam prodidit] DCXXV. mill. Strab. II. p. 114. *Ἐπεὶ ἂν πεντακισχίλιοι μέν εἰσιν οἱ ἀπὸ Συήνης εἰς Μερόην.*

XLVIII. Idem V, 6. Eratosthenes a Cyrenis Alexandriam terrestri itinere DXXV. M. prodidit. His coniunxerim Strab. X. p. 475. *Ἐρατοσθένης δ' ἀπὸ μὲν τῆς Κυρηναίας μέχρι Κριοῦ μετώπου δισχιλίους φησίν· ἔνθεν δ' εἰς Πελοπόννησον ἐλάττους.*

XLIX. Idem V, 36. Distat (Rhodos) ab Alexandria Aegypti — ut Eratosthenes (tradit), CCCCLXIX. mill. Numerum minus accuratum ex Eratosthene prodidit Strabo II. p. 86. extremo fr. LVIII.

L. Idem V, 9. Ab ore autem Ponti ad os Maeotis Eratosthenes XVI. XLV. M. passuum.

LI. Idem VI, 1. Mensuram Ponti a Bosporo ad Maeotium lacum quidam fecere XIV. triginta octo mill. passuum, Eratosthenes centum minorem.

LII. Idem V, 6. Polybius et Eratosthenes diligentissimi existimati ab oceano ad Carthaginem magnam

$\overline{\text{XI}}$. mill. passuum; ab ea Canopicum Nili proximum ostium $\overline{\text{XV}}$. XXVIII. fecerunt. Posterioribus comparanda sunt Strabonis ea verba, quae ex libro II. p. 93. fragmento LX. inserentur. Praeterea idem fr. XLV. — *μέχρι Κανωβικοῦ στόματος· εἶτα μέχρι τῆς Καρχηδόνος μυρίους τρισχιλίους πεντακοσίους· εἶτα μέχρι στηλῶν ὀκτακισχιλίους τοὐλάχιστον.* Gossellinus (Géogr. d. Grecs analysée p. 13, 14.) isto *τοὐλάχιστον* arrepto Strabonem monet indicare, numerum aliquem a se negligi; neque enim ipsa 8000 stadia, sed potius 8800 intervallum constituisse, Plinii $\overline{\text{XI}}$. M. P. demonstrare; atque altero Strabonis testimonio, quae Plinius tradidit 1528. vel secundum Elzevirianam editionem 1630 M. P., sibi per 1688 emendanda videri. Quarum prior coniectura utut speciosa difficultate non caret, altera non necessario adhibenda fuerit. Quod enim Strabonem aliquid numeri praetermisisse contendit, vellem explicasset, quanam ille caussa adductus in hac ratiocinatione singula minutissime persequenti octingenta stadia neglexerit; ac, si tamen universam dimensionem satis distincte octingentorum praeter septem myriadas ponere potuit, cur tandem *τοὐλάχιστον*, nec potius *ὀκτακοσίους* exhibere maluerit. Atqui sanequam pervagatum est, vetustos geographos in colligendis latitudinis longitudinisque intervallis non accuratissime neque versatos fuisse, neque versari potuisse, ut quos ab observatis peregrinantium ex magna parte imminuendis stare oporteret. Proinde quae sive diligentiora probarentur, sive ex geometrica ratione recte sese haberent, in severam admitti mensuram; quibus contraria inesset indoles, rationibus ex arbitrio plerumque compositis inserviebant. Iam ne ipsum quidem Eratosthenem dimensionem latitudinis eique superstructam longitudinis ea mente disposuisse existimo, quasi quae Pytheae narratis inniterentur inexpugnabilem huius quaestionis noti-

tiam protulissent. Cf. ipsum apud Strab. II. p. 79. fr. LVIII. et adi exemplum gemellum fr. XLIX. Quae cum ita essent, potuit ille de longitudine disputans octingenta stadia ex re nata modo addere, modo adimere: quocirca neutra apud Plinium sententia emendatione vel eiusmodi interpretatione indigere videtur. Componantur quae ad fr. XLII. prostant.

Quae praeterea de mensuris et divisionibus terrae libro secundo a Strabone proferuntur, non ausim cum Mannerto Eratostheni attribuere, ut qui nec diserte excitetur, nec satis perspicue tangatur. Etiam quae idem dicit II. p. 95. *τὸ δ' ἑξῆς, μέχρι τοῦ ἰσημερινοῦ λέγω, δείκνυται κατὰ τὴν ὑπ' Ἐρατοσθένους γενομένην ἀναμέτρησιν τῆς γῆς, ὅτι ἐστὶ σταδίων ὀκτακισχιλίων ὀκτακοσίων,* dubium est an merito hic locum possint recipere. Facit tamen unicus Varronis locus, ut nonnulla certe ex ista demonstratione iure huc transferi queant; sed tamen haec quoque ex recentioribus geographis in permultis Nostrum secutis derivari potuisse non negaveris.

LIII. Varro de R. R. I, 2, 3. Primum cum orbis terrae divisus sit in duas partes ab Eratosthene, maxime secundum naturam, ad meridiem versus et ad septemtriones. Imperite Fulv. Ursinus coniecit: Asiam ad meridiem versus, et Europam ad septemtriones. Vide ad fr. LV. Strabo II. p. 111. *Καλεῖται δὲ τῶν ἡμισφαιρίων ἑκάτερον τῶν οὐρανίων* |*καὶ τῶν ἐπὶ γῆς τὸ μὲν βόρειον, τὸ δὲ νότιον.* Adde fr. LVIII. init.

LIV. Strabo I. p. 65. *Πάλιν δὲ ἐπιμένων τῇ περὶ τοῦ σφαιροειδῆ τὴν γῆν εἶναι ἀποδείξει τῆς αὐτῆς ἐπιτιμήσεως ἂν τυγχάνοι. Ὡς δ' αὔτως καὶ πρὸς τὸν Ὅμηρον οὐ παύεται περὶ τῶν αὐτῶν διαφερόμενος.*

Nunc demum concludit idem librum suum primum et Eratosthenis secundum, florem totius operis

qui vel solus perennem maximo viro gloriam conciliaret afferendo, quo duplex momentum contra eos, qui aliis quam mathematicis rationibus permoti orbem terrarum ex arbitrio dividerent, exhibetur:

LV. *Ἑξῆς δὲ περὶ τῶν ἠπείρων εἰπὼν γεγονέναι πολὺν λόγον, καὶ τοὺς μὲν τοῖς ποταμοῖς διαιρεῖν αὐτάς, τῷ τε Νείλῳ καὶ τῷ Τανάϊδι, νήσους ἀποφαίνοντας· τοὺς δὲ τοῖς ἰσθμοῖς, τῷ τε μεταξὺ τῆς Κασπίας καὶ τῆς Ποντικῆς θαλάττης, καὶ τῷ μεταξὺ τῆς ἐρυθρᾶς καὶ τοῦ ἐκρήγματος· τοὺς δὲ χεῤῥονήσους αὐτὰς λέγειν· οὐχ ὁρᾶν φησι, πῶς ἂν εἰς πράγματα καταστρέφοιτο ἡ ζήτησις αὕτη, ἀλλὰ μόνον ἔριν διαιτώντων μᾶλλον κατὰ Δημόκριτον εἶναι. μὴ ὄντων γὰρ ἀκριβῶν ὅρων, καθάπερ Κολυττοῦ καὶ Μελίτης, οἷον στηλῶν ἢ περιβόλων, τοῦτο μὲν ἔχειν φάναι ἡμᾶς, ὅτι τοῦτο μέν ἐστι Κολυττός, τουτὶ δὲ Μελίτη, τοὺς ὅρους δὲ μὴ ἔχειν εἰπεῖν. Διὸ καὶ συμβαίνειν κρίσεις πολλάκις περὶ χωρίων τινῶν, καθάπερ Ἀργείοις μὲν καὶ Λακεδαιμονίοις περὶ Θυρέας, Ἀθηναίοις δὲ καὶ Βοιωτοῖς περὶ Ὠρωποῦ. Ἄλλως τε τοὺς Ἕλληνας τὰς τρεῖς ἠπείρους ὀνομάσαι οὐκ εἰς τὴν οἰκουμένην ἀποβλέψαντας, ἀλλ' εἴς τε τὴν σφετέραν καὶ τὴν ἀπαντικρύ, τὴν Καρικήν, ἐφ' ἣ νῦν Ἴωνες καὶ οἱ ἑξῆς· χρόνῳ δὲ ἐπιπλέον προϊόντας ἀεί, καὶ πλειόνων γνωριζομένων χωρῶν, εἰς τοῦτο καταστρέψαι τὴν διαίρεσιν.* Ea sibi haud percepta cum Strabo refellenda sumpsisset, non potuit non audax istud imperitorum iudicium ferre: *ταῦτα εἴρηται παχυμερῶς.* Et priora quidem non adeo illustratione indigent, ad sequentia autem tenendum est, Eratosthenem, postquam errarum divisionem severa, sed arbitraria lege perfectam temeritatis acutissime redarguerat, aliud momentum subiunxisse, posse etiam ex orgine divisionis de eius pretio abunde censeri: homines enim pro cognitione vicinarum regionum paullatim comparata primum duplicis terrae ambitus, deinde Europam, Asiam, Libyam posuisse ac

denominasse; eiusmodi igitur quasi crepundia adolescentis geographicae scientiae repudiari debere. Vere ita eum censuisse sequentia evincent. Primum enim Graecos Phasin et Nilum alterius terrae contrarios terminos existimasse, indicant Eurip. Androm. 651. sq. et Pindarus P. IV. 99. Isthm. II, 61. sq.; proinde Europam et Asiam constituebant, quod exemplorum cumulo monstrarunt interpretes Fulgentii Mythol. II, 16. et Schaeferus Meletem. p. 37. sq. ad Bosii Ellipses p. 531. Sed Herodotus iam ab eo cognitionum genere instructior tres novit mundi partes. Cuius tamen ac paucorum praeterea opinio, ab ipso Eratosthene verbis τοὺς Ἕλληνας τὰς τρεῖς ἠπείρους ὀνομάσαι expressa, adeo non antiquis hominibus probabatur, ut Polybius in nimiae documentum imperitiae Timaei (fr. 31.) triplicem attulerit divisionem: Valesii enim ratio, Timaeum, quod universum orbem terrarum terminis istis incluserit, notatum censentis, nihil omnino prodest, siquidem unus Eratosthenes tertiam quandam partem inventum iri augurabatur, reliquis in Europa et Asia acquiescentibus. Deinde re vera ut pronunciavit Eratosthenes Iones eam Asiae partem quam incoluerunt antiquitus Asiam appellasse, invicto argumento praeter alios grammaticos confirmat Schol. Apollonii Rh. II, 777. Ὅτε δεῦρο δι' Ἀσίδος] τῆς Λυδίας λέγει. Ἀσία γὰρ τοπρότερον ἐκαλεῖτο ἡ Λυδία. Καὶ Ὅμηρος· Ἀσίῳ ἐν λειμῶνι. Καὶ ἡ κιθάρα Ἀσία (l. Ἀσιὰς) λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη. Ἀσιὰς enim κιθάρα Euripidis adhuc et Aristophanis aetate Ionum cithara audiebat: vide interpp. Thesmophor. 120. Nec dubitandum videtur, quin Lesbonax περὶ σχημάτων illam τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων construendi rationem post Κλαζομένιον et Κολοφώνιον σχῆμα p. 178. allatam de Caricis Ionibus intellexerit. Ceterum vide ad fr. XVI. notata. Hinc satis diiudicari potest Brouk-

husii sententia ad Tibulli IV, 1, 176. p. 376, ubi de duabus terris disseruit, a Fabricio quoque Bibl. Gr. IV. p. 122. concessa, ab Eratosthene totam terram in duas partes, Asiam et Europam, divisam fuisse. Utebatur ille Varronis locis duobus, altero de L. L. IV. utrasque tantum regiones significanti citra Eratosthenis mentionem; posteriore, qui fr. LIII. appositus fuit. At vero etiamsi ad testes in eam rem provocare liceret, non dubitandum foret, eiusmodi narrationem erratis adiungere. Nemini enim potest ambiguum esse, cum inventi laudem in hac divisionis per Europam et Asiam vetustate Eratostheni merito denegari, tum divisionem si ponas nondum praereptam, illum quidem minime omnium talem conatum aggressurum fuisse, quippe qui diserte quantum fieri potuit in puerilium ausorum numero referendum censuerit. Jam etiam quid de Ursini coniectura supra memorata statuendum sit, arbitror liquere. Ultimo loco non abs re fuerit, sensum verborum *μὴ ὄντων γὰρ — μὴ ἔχειν εἰπεῖν* paucis declarare; non enim illa Colytti et Melites mentio fines certos nec unquam promotos significare potest, perspicuo Eratosthenis sermone contrarii admonente: alioquin tale quid pronunciaturus non fuisset, quid Melite et Colyttus sit decerni licere; qui sint termini, id vero definiri non licere. Profecto Strabonis similisve censoris animadversionem neutiquam effugisset. Immo particulae *καθάπερ* et *οἷον* Latinorum si forte, vernaculo etwa respondent: de qua notione abunde dictum ad Mercurii fr. XV, 3. Adde ex Epistola ad Ptolemaeum: *λέγω δὲ οἷον μετρητὴν μεδίμνων.*

LVI. Strabo p. 66. *Ἐπὶ τέλει τοῦ ὑπομνήματος οὐκ ἐπαινέσας τοὺς δίχα διαιροῦντας ἅπαν τὸ τῶν ἀνθρώπων πλῆθος εἴς τε Ἕλληνας καὶ βαρβάρους, καὶ τοὺς Ἀλεξάνδρῳ παραινοῦντας, τοῖς μὲν Ἕλλησιν ὡς φίλοις χρῆσθαι, τοῖς δὲ βαρβάροις ὡς πολεμίοις, βέλ-*

τιον εἶναί φησιν ἀρετῇ καὶ κακίᾳ διαιρεῖν ταῦτα. πολλοὺς γὰρ καὶ τῶν Ἑλλήνων εἶναι κακούς, καὶ τῶν βαρβάρων ἀστείους, καθάπερ Ἰνδοὺς καὶ Ἀρειανούς, ἔτι δὲ Ῥωμαίους καὶ Καρχηδονίους, οὕτω θαυμαστῶς πολιτευομένους. διόπερ τὸν Ἀλέξανδρον ἀμελήσαντα τῶν παραινούντων, ὅσους οἷός τ' ἦν ἀποδέχεσθαι τῶν εὐδοκίμων ἀνδρῶν καὶ εὐεργετεῖν. Quod in praeclaro loco de Alexandro expositum Strabo praefracte negavit, non debebat Eratosthenis fidem, qui in rebus herois Macedonici, omnibus illius argumenti copiis abundantibus, accurate versatus erat, sine idonea auctoritate reprobare, cum praesertim eiusmodi sentiendi ratio ab Alexandri ingenio minime abhorruerit. Graeculi indicia Strabo aliquoties protrahit.

His expositis, non ita obscurum esse potest, terminos duntaxat per ipsam naturam constitutos Eratosthenem agnovisse, diserte etiam Strabone admonente. Libri enim XI. principium ita exorditur: *Τῇ δ' Εὐρώπῃ συνεχής ἐστι(ν) ἡ Ἀσία κατὰ τὸν Τάναϊν συνάπτουσα αὐτῇ· περὶ ταύτης οὖν ἐφεξῆς ῥητέον, διελόντας φυσικοῖς τισιν ὅροις τοῦ σαφοῦς χάριν. Ὅπερ οὖν Ἐρατοσθένης ἐφ' ὅλης τῆς οἰκουμένης ἐποίησε, τοῦθ' ἡμῖν ἐπὶ τῆς Ἀσίας ποιητέον.*

---

## FRAGMENTA LIBRI TERTII.

LVII. Strabo libri II. principio: *Ἐν δὲ τῷ τρίτῳ τῶν γεωγραφικῶν καθιστάμενος τὸν τῆς οἰκουμένης πίνακα* *), *γραμμῇ τινι διαιρεῖ δίχα, ἀπὸ δύσεως ἐπ' ἀνατολὴν παραλλήλῳ τῇ ἰσημερινῇ γραμμῇ. Πέρατα δ' αὐτῆς τίθησι πρὸς δύσει μὲν τὰς Ἡρακλείους στήλας, ἐπ' ἀνατολῇ δὲ τὰ ἄκρα [καὶ ἔσχατα ὄρη] τῶν ἀφοριζόντων ὀρῶν τὴν πρὸς ἄρκτον τῆς Ἰνδικῆς πλευράν.*

---

*) Pinacem Eratosthenis librum ut erat perspicax Galeus hinc collegit.

γράφει δὲ τὴν γραμμὴν ἀπὸ στηλῶν διά τε τοῦ Σικελικοῦ πορθμοῦ καὶ τῶν μεσημβρινῶν ἄκρων τῆς τε Πελοποννήσου καὶ τῆς Ἀττικῆς, καὶ μέχρι τῆς Ῥοδίας καὶ τοῦ Ἰσσικοῦ κόλπου. Μέχρι μὲν δὴ δεῦρο διὰ τῆς θαλάττης φησὶν εἶναι (l. ἰέναι, ut fr. LXVI.) τὴν λεχθεῖσαν γραμμὴν καὶ τῶν παρακειμένων ἠπείρων· καὶ γὰρ αὐτὴν ὅλην τὴν καθ' ἡμᾶς θάλατταν οὕτως ἐπὶ μῆκος τετάσθαι μέχρι τῆς Κιλικίας, εἶτα ἐπ' εὐθείας πως ἐκβάλλεσθαι παρ' ὅλην τὴν ὀρεινὴν τοῦ Ταύρου μέχρι τῆς Ἰνδικῆς. Τὸν γὰρ Ταῦρον ἀπ' *) εὐθείας τῇ ἀπὸ στηλῶν θαλάττῃ τεταμένον δίχα τὴν Ἀσίαν διαιρεῖν ὅλην ἐπὶ μῆκος, τὸ μὲν αὐτῆς μέρος βόρειον ποιοῦντα, τὸ δὲ νότιον· ὥςθ' ὁμοίως καὶ αὐτὸν ἐπὶ τοῦ διὰ Θινῶν ἱδρῦσθαι παραλλήλου, καὶ τὴν ἀπὸ στηλῶν μέχρι δεῦρο θάλατταν.

Ταῦτα δ' εἰπὼν οἴεται δεῖν διορθῶσαι τὸν ἀρχαῖον γεωγραφικὸν πίνακα. πολὺ γὰρ ἐπὶ τὰς ἄρκτους παραλλάττειν τὰ ἑωθινὰ μέρη τῶν ὀρῶν κατ' αὐτόν, συνεπισπᾶσθαι δὲ καὶ τὴν Ἰνδικὴν ἀρκτικωτέραν ἤδη γενομένην. Πίστιν δὲ τούτου φέρει μίαν μὲν τοιαύτην, ὅτι τὰ τῆς Ἰνδικῆς ἄκρα τὰ μεσημβρινώτατα ὁμολογοῦσι πολλοὶ τοῖς κατὰ Μερόην ἀνταίρειν τόποις, ἀπό τε τῶν ἀέρων καὶ τῶν οὐρανίων τεκμαιρόμενοι· ἐντεῦθεν δ' ἐπὶ τὰ βορειότατα τῆς Ἰνδικῆς τὰ πρὸς τοῖς Καυκασίοις ὄρεσι Πατροκλῆς ὁ μάλιστα πιστεύεσθαι δίκαιος, διά τε τὸ ἀξίωμα, καὶ διὰ τὸ μὴ ἰδιώτης εἶναι τῶν γεωγραφικῶν, φησὶ σταδίους μυρίους καὶ πεντακιςχιλίους· ἀλλὰ μὴν καὶ τὸ ἀπὸ Μερόης ἐπὶ τὸν διὰ Θινῶν παράλληλον τοσοῦτόν πώς ἐστιν· ὥςτε τῆς Ἰνδικῆς τὰ προςάρκτια μέρη συνάπτοντα τοῖς Καυκασίοις ὄρεσιν εἰς τοσοῦτον τελευτᾶν τὸν κύκλον.

---

*) Ἐπ' post Casaubonum editor Lipsiensis: v. ad fr. XLIV. Mercurii fr. XIV. Videndum, an etiam superiore sententia ἐπ' εὐθείας immutandum sit; sed p. 86. eo non opus est.

"Ἄλλην δὲ πίστιν φέρει τοιαύτην, ὅτι τὸ ἀπὸ τοῦ Ἰσσικοῦ κόλπου διάστημα ἐπὶ τὴν θάλατταν τὴν Ποντικὴν τρισχιλίων πώς ἐστι σταδίων πρὸς ἄρκτον ἰόντι καὶ τοὺς περὶ Ἀμισὸν ἢ Σινώπην τόπους· ὅσον καὶ τὸ πλάτος τῶν ὀρῶν λέγεται. ἐκ δὲ Ἀμισοῦ πρὸς τὴν ἰσημερινὴν ἀνατολὴν φερομένῳ πρῶτον μὲν ἡ Κολχίς ἐστιν, ἔπειτα ἡ ἐπὶ τὴν Ὑρκανίαν θάλατταν ὑπέρθεσις, καὶ ἡ ἐφεξῆς ἡ ἐπὶ Βάκτρα καὶ τοὺς ἐπέκεινα Σκύθας ὁδὸς δεξιὰ ἔχοντι τὰ ὄρη· αὕτη δ' ἡ γραμμὴ διὰ Ἀμισοῦ πρὸς δύσιν ἐκβαλλομένη διὰ τῆς Προποντίδος ἐστὶ καὶ τοῦ Ἑλλησπόντου. ἀπὸ δὲ Μερόης ἐπὶ τὸν Ἑλλήσποντον οὐ πλείους εἰσὶ τῶν μυρίων καὶ ὀκτακισχιλίων σταδίων, ὅσοι καὶ ἀπὸ τοῦ μεσημβρινοῦ πλευροῦ τῆς Ἰνδικῆς πρὸς τὰ περὶ τοὺς Βακτρίους μέρη, προστεθέντων τρισχιλίων τοῖς μυρίοις καὶ πεντακισχιλίοις, ὧν οἱ μὲν τοῦ πλάτους ἦσαν τῶν ὀρῶν, οἱ δὲ τῆς Ἰνδικῆς. Errata veterum tabularum permulta vere ab Eratosthene deprehensa fuisse concedit p. 71. τίς δ' ἂν ἡγήσαιτο πιστοτέρους τῶν ὕστερον τοὺς παλαιούς, τοσαῦτα πλημμελήσαντας περὶ τὴν πινακογραφίαν, ὅσα οὐ διαβέβληκεν Ἐρατοσθένης, ὧν οὐδενὶ ἀντείρηκεν Ἵππαρχος;

LVIII. Idem II. p. 78. — Ἀκολουθῶν τῇ θέσει τῇ προειρημένῃ τοῦ τε Ταύρου καὶ τῆς ἀπὸ στηλῶν θαλάττης, διελὼν τῇ γραμμῇ ταύτῃ τὴν οἰκουμένην δίχα, καὶ καλέσας τὸ μὲν βόρειον μέρος, τὸ δὲ νότιον, πειρᾶται καὶ τούτων ἑκάτερον πάλιν τέμνειν εἰς τὰ δυνατὰ μέρη· καλεῖ δὲ ταῦτα σφραγῖδας· καὶ δὴ τοῦ νοτίου μέρους πρώτην εἰπὼν σφραγῖδα τὴν Ἰνδικήν, δευτέραν δὲ τὴν Ἀριανήν, ἐχούσας τι εὐπερίγραφον, ἴσχυσεν ἀμφοτέρων ἀποδοῦναι καὶ μῆκος καὶ πλάτος, τρόπον δέ τινα καὶ σχῆμα, ὡς ἂν γεωμετρικός. τὴν μὲν γὰρ Ἰνδικὴν ῥομβοειδῆ φησι, διὰ τὸ τῶν πλευρῶν τὰς μὲν θαλάττῃ κλύζεσθαι τῇ τε νοτίῳ καὶ τῇ ἑῴᾳ, μὴ πάνυ κολπώδεις ἠϊόνας ποιούσῃ· τὰς δὲ λοιπὰς τὴν μὲν τῷ ὄρει, τὴν δὲ τῷ ποταμῷ· κἀνταῦθα τοῦ εὐθυ-

γράμμου σχήματος ὑπό τι σωζομένου. τὴν δ' Ἀριανὴν ὁρῶν τάς γε τρεῖς πλευρὰς ἔχουσαν εὐφυεῖς πρὸς τὸ ἀποτελέσαι παραλληλόγραμμον σχῆμα, τὴν δ' ἑσπέριον οὐκ ἔχων σημείοις ἀφορίσαι διὰ τὸ ἐναλλάττειν ἀλλήλοις τὰ ἔθνη, γραμμῇ τινι ὅμως δηλοῖ τῇ ἀπὸ Κασπίων πυλῶν ἐπὶ τὰ ἄκρα τῆς Καρμανίας τελευτώσῃ *), τὰ συνάπτοντα πρὸς τὸν Περσικὸν κόλπον. ἑσπέριον μὲν οὖν καλεῖ τοῦτο τὸ πλευρόν, ἑῷον δὲ τὸ παρὰ τὸν Ἰνδόν· παράλληλα δ' οὐ λέγει, οὐδὲ τὰ λοιπά, τό τε τῷ ὄρει γραφόμενον καὶ τὸ τῇ θαλάττῃ, ἀλλὰ μόνον τὸ μὲν βόρειον, τὸ δὲ νότιον.

Οὕτω δ' ὁλοσχερεῖ τινι τύπῳ τὴν δευτέραν ἀποδιδοὺς σφραγῖδα, ὁλοσχερέστερον ἀποδίδωσι τὴν τρίτην σφραγῖδα κατὰ πλείους αἰτίας. — — ὅτι εἰς τὴν νότιον πλευρὰν ὁ Περσικὸς ἐμπίπτει κόλπος, ὅπερ καὶ αὐτός φησιν· ὥστ' ἠνάγκασται τὴν ἐκ Βαβυλῶνος λαβεῖν γραμμήν, ὡς ἂν εὐθεῖάν τινα διὰ Σούσων καὶ Περσεπόλεως (p. 79.) μέχρι τῶν ὅρων τῆς Καρμανίας καὶ τῆς Περσίδος, ᾗ δυνατὸς ἦν εὑρεῖν μεμετρημένην ὁδόν, σταδίων οὖσαν τὴν ὅλην μικρῷ πλειόνων ἢ ἐννακισχιλίων· ἣν νότιον μὲν καλεῖ πλευράν, παράλληλον δ' οὐ λέγει τῇ βορείῳ. Δῆλον δ' ὅτι οὐδ' ὁ Εὐφράτης, ᾧ τὸ ἑσπέριον ἀφορίζει πλευρόν, σύνεγγύς ἐστιν εὐθείᾳ γραμμῇ. — Δηλοῖ δὲ τὸ μὴ εὐθύπορον τοῦ ποταμοῦ, φράζων τὸ σχῆμα τῆς Μεσοποταμίας, ὃ ποιοῦσι συμπίπτοντες εἰς ἓν ὅ τε Τίγρης καὶ ὁ Εὐφράτης, ὑπηρεσίῳ παραπλήσιον, ὥς φησι. — φησὶ τὸ πρὸς τῇ Ἀρμενίᾳ μέρος καὶ τοῖς ἀρκτικοῖς ὄρεσι μὴ ἔχειν πόσον ἐστί, διὰ τὸ

---

*) Annotanda structurae contractio, quae quo valeat, perspicuum evadet collatis Lobeckio ad Prynich. p. 45 sq. 47. fr. LXXI. Philoxeno ap. Plat. Comic. Athen. I, p. 5. B. Procli chrestom. p. 378. 479. Gaisf. Schol. Hephaest. p. 96 extr. Schol. Arist. Eq. 1051. Pind. Nem. III, 122. Omnibus potior est Aristophanis auctoritas, qui Lysistr. 1138. λόγος μοι δεῦρ' ἀεὶ περαίνεται eloquitur. Nunc demum intelligitur, num Scholiorum Arist. Nub. 61. ἀναπαυστέον μέχρι τοῦ υἱὸς in Scholiastarum insolentiis dictionis reponendum sit.

ἀμέτρητον εἶναι. Διὰ δὴ πάντα ταῦτα τυπωδῶς φησιν ἀποδιδόναι τὴν τρίτην μερίδα· καὶ γὰρ καὶ τὰ διαστήματα *), ἅ φησιν ἐκ πολλῶν συνάγειν τῶν τοὺς σταθμοὺς πραγματευσαμένων· τινὰς καὶ ἀνεπιγράφους καλεῖ.

Ὁ μὲν δὴ οὕτως φησὶ τὴν τρίτην μερίδα τυπωδῶς ἀποδίδοσθαι, μυρίων σταδίων ἀπὸ Κασπίων πυλῶν ἐπὶ τὸν Εὐφράτην. Κατὰ μέρος δὲ διαιρῶν, ὡς ἀναγεγραμμένην εὗρε τὴν μέτρησιν, οὕτω τίθησιν, ἔμπαλιν τὴν ἀρχὴν ἀπὸ τοῦ Εὐφράτου ποιησάμενος καὶ τῆς κατὰ Θάψακον διαβάσεως αὐτοῦ. Μέχρι μὲν δὴ τοῦ Τίγριδος, ὅπου Ἀλέξανδρος διέβη, σταδίους δισχιλίους καὶ τετρακοσίους γράφει· ἐντεῦθεν δ' ἐπὶ τοὺς ἑξῆς τόπους διὰ Γαυγαμήλων καὶ τοῦ Λύκου καὶ Ἀρβήλων καὶ Ἐκβατάνων, ᾗ Δαρεῖος ἐκ τῶν Γαυγαμήλων ἔφυγε μέχρι Κασπίων πυλῶν, τοὺς μυρίους ἐκπληροῖ, τριακοσίους μόνον πλεονάσας. τὸ μὲν δὴ βόρειον πλευρὸν οὕτω καταμετρεῖ.

(p. 80.) Ἀποδοὺς δὲ τὸ βόρειον οὕτω πλευρόν, τὸ δὲ νότιον, φησί, παρὰ μὲν τὴν θάλατταν οὐκ ἔστι λαβεῖν, διὰ τὸ τὸν Περσικὸν ἐμπίπτειν κόλπον· ἀπὸ Βαβυλῶνος δὲ διὰ Σούσων καὶ Περσεπόλεως καὶ τῶν ὁρίων τῆς τε Περσίδος καὶ τῆς Καρμανίας σταδίους εἶναι ἐννακισχιλίους καὶ διακοσίους. — Τὴν δὲ διαφωνίαν τοῦ μήκους φησὶ συμβαίνειν, τοῦ τε βορείου τεθέντος πλευροῦ καὶ τοῦ νοτίου, διὰ τὸ τὸν Εὐφράτην μέχρι τινὸς πρὸς μεσημβρίαν ῥυέντα πρὸς τὴν ἕω πολὺ ἐγκλίνειν.

Τῶν δὲ πλαγίων πλευρῶν τὴν ἑσπερίαν λέγει πρῶτον· ἣν ὁποία τίς ἐστιν, εἴτε μία, εἴτε δύο, ἐν μέσῳ πάρεστι σκοπεῖν. Ἀπὸ γὰρ τῆς κατὰ Θάψακόν φησι διαβάσεως παρὰ τὸν Εὐφράτην εἰς μὲν Βαβυλῶνα σταδίους εἶναι τετρακισχιλίους ὀκτακοσίους, ἐντεῦθεν δ' ἐπὶ

*) Supplendum τυπωδῶς ἀποδίδοται; ἅ omisso, ut facit Siebenkeesius, omnia in hac sententiarum conformatione sensu carent.

τὰς ἐκβολὰς τοῦ Εὐφράτου καὶ πόλιν Τερηδόνα τρισχιλίους, τὸ δ' ἀπὸ Θαψάκου πρὸς ἄρκτους μέχρι μὲν τῶν Ἀρμενίων πυλῶν καταμεμετρῆσθαι, καὶ εἶναι ὡς χιλίους καὶ ἑκατόν *), τοὺς δὲ διὰ Γορτυναίων καὶ Ἀρμενίων μηκέτι· διὸ δὴ παραλείπειν αὐτούς. Τοῦ δὲ πρὸς ἕω πλευροῦ τὸ μὲν διὰ τῆς Περσικῆς κατὰ μῆκος ἀπὸ τῆς ἐρυθρᾶς ὡς ἐπὶ Μηδίαν καὶ τὰς ἄρκτους οὐκ ἔλαττον εἶναι δοκεῖ τῶν ὀκτακισχιλίων, ἀπὸ δέ τινων ἀκρωτηρίων καὶ ὑπὲρ τοὺς ἐννακισχιλίους, τὸ δὲ λοιπὸν διὰ τῆς Παραιτακηνῆς καὶ Μηδίας ἐπὶ Κασπίους πύλας ὡς τρισχιλίων, τὸν δὲ Τίγριν ποταμὸν καὶ τὸν Εὐφράτην, ῥέοντας ἐκ τῆς Ἀρμενίας πρὸς μεσημβρίαν, ἐπειδὰν παραμείψωνται τὰ τῶν Γορτυναίων ὄρη, κύκλον μέγαν περιβαλλομένους, καὶ ἐμπεριλαβόντας χώραν πολλήν, τὴν Μεσοποταμίαν, ἐπιστρέφειν πρὸς χειμερινὴν ἀνατολὴν καὶ τὴν μεσημβρίαν, πλέον δὲ τὸν Εὐφράτην. γενόμενον δὲ τοῦτον ἔγγιον ἀεὶ τοῦ Τίγριδος κατὰ τὸ Σεμιράμιδος διατείχισμα καὶ κώμην καλουμένην Ὦπιν, διασχόντα ταύτης ὅσον διακοσίους σταδίους, καὶ ῥυέντα διὰ Βαβυλῶνος, ἐκπίπτειν εἰς τὸν Περσικὸν κόλπον· γίνεται δή, φησί, τὸ σχῆμα τῆς Βαβυλωνίας καὶ Μεσοποταμίας ὑπηρεσίῳ παραπλήσιον. Ὁ μὲν δὴ Ἐρατοσθένης τοιαῦτ' εἴρηκε.

(p. 85.) Τὸ δὲ τῆς τετάρτης [μερίδος μῆκος, ὃ Ἐρατοσθένης λαμβάνει] ἐπὶ τῆς διὰ Θαψάκου καὶ Ἡρώων πόλεως [γραμμῆς], μέχρι τῆς παραλίας τῆς μεταξὺ τῶν στομάτων τοῦ Νείλου, ἀνάγκη καταστρέφειν εἰς τοὺς περὶ Κάνωβον καὶ Ἀλεξάνδρειαν τόπους· ἐνταῦθα γάρ ἐστι τὸ ἔσχατον στόμα τὸ καλούμενον Κανωβικόν τε καὶ Ἡρακλεωτικόν. Εἴτ' οὖν ἐπ' εὐθείας ἀλλήλοις τὰ

*) Numerus depravationis suspectus: vide Strab. XVI. p. 746. καὶ ἔστι τὸ μὲν ἀπὸ τῆς Θαψάκου μέχρι Βαβυλῶνος, ὡς εἴρηκεν Ἐρατοσθένης, τετρακισχίλιοι καὶ ὀκτακόσιοι στάδιοι, τὸ δ' ἀπὸ τοῦ κατὰ Κομμαγηνὴν ζεύγματος, ἧπερ ἐστὶν ἀρχὴ τῆς Μεσοποταμίας, οὐκ ἔλαττον τῶν δισχιλίων σταδίων ἕως ἐπὶ Θάψακον.

*μήκη τίθησιν, εἴθ᾽ ὡς ἂν γωνίαν ποιοῦντα κατὰ Θάψακον, ἀλλ᾽ ὅτι γε παράλληλον οὐδέτερον τῷ τῆς οἰκουμένης μήκει, φανερόν ἐστιν ἐξ αὐτῶν ὧν εἴρηκεν αὐτός.* (p. 86.) *Τὸ μὲν γὰρ τῆς οἰκουμένης μῆκος διὰ τοῦ Ταύρου γράφει, καὶ τῆς ἐπ᾽ εὐθείας μέχρι στηλῶν θαλάττης, κατὰ γραμμὴν τὴν διὰ τοῦ Καυκάσου καὶ Ῥόδου καὶ Ἀθηνῶν· ἀπὸ δὲ Ῥόδου εἰς Ἀλεξάνδρειαν κατὰ τὸν δι᾽ αὐτῶν μεσημβρινὸν πολὺ ἐλάττους φησὶ τῶν τετρακισχιλίων εἶναι σταδίων.* *οὐ πολύ* scripsit Siebenkeesius, male: v. supra fr. XLIX.

Quae contra ejusmodi divisionem et Hipparchus ipso comprobante p. 88, et Strabo p. 90. protulerunt momenta, eorum hic pondera suis ipsius dictis everti ignoravit; ait enim p. 91. *Ἐροῦμεν δὲ πρὸς αὐτόν, ὅτι τοῦ Ἐρατοσθένους ἐν πλάτει λαμβάνοντος εὐθείας, ὅπερ οἰκεῖόν ἐστι γεωγραφίας, ἐν πλάτει δὲ καὶ τὰς μεσημβρινὰς καὶ τὰς ἐπὶ μεσημβρινὴν ἀνατολήν, ἐκεῖνος γεωμετρικῶς αὐτὸν εὐθύνει, καὶ ὡς ἂν δι᾽ ὀργάνων λάβοι τις τούτων ἕκαστον.* Ut enim videmus in permultis ab antiquis hominibus institutum fuisse, ut quam maxime versatiles vividasque rerum ab ipsis tractatarum imagines effingerent, ita in hoc quoque litterarum genere figuras geometricis rationibus accommodatas, quippe quibus arida scientia amoeniorem indueret faciem, sectabantur; veluti terrae chlamydis conformationem attribuerunt, Eratosthenes illos ingenii lusus composuit. Ad normam enim mathematicam talia non exigenda esse, ipse suo *τυπωδῶς* identidem ingesto satis significavit.

Praecedentium seriem illa apud Strabonem II. p. 91. excepisse videntur:

LIX. *Διόπερ πρῶτον μὲν ἐκείνου τὸ ἀπὸ τοῦ στόματος ἐπὶ Φᾶσιν εἰπόντος σταδίων ὀκτακισχιλίων καὶ προσθέντος τοὺς εἰς Διοσκουριάδα, ἐντεῦθεν δ᾽ ἑξακοσίους, τὴν δ᾽ ἀπὸ Διοσκουριάδος εἰς τὸ Κάσπιον*

ὑπέρθεσιν ἡμερῶν πέντε, — ὥςτε τὴν σύμπασαν κατ' Ἐρατοσθένη κεφαλαιοῦσθαι ἐννακιςχιλίων ἑξακοσίων.

LX. Idem p. 92. *Εἶτ' ἐκτίθεται (Ἵππαρχος) τὰ ῥηθέντα ὑπὸ τοῦ Ἐρατοσθένους περὶ τῶν μετὰ τὸν Πόντον τόπων, ὅτι φησὶ τρεῖς ἄκρας* *) *ἀπὸ τῶν ἄρκτων καθήκειν, μίαν μέν, ἐφ' ἧς ἡ Πελοπόννησος, δευτέραν δὲ τὴν Ἰταλικήν, τρίτην δὲ τὴν Λιγυστικήν, ὑφ' ὧν κόλπους ἀπολαμβάνεσθαι τόν τε Ἀδριατικὸν καὶ τὸν Τυῤῥηνικόν. Ταῦτα δὲ ἐκθέμενος καθόλου, πειρᾶται τὰ καθέκαστα περὶ αὐτῶν λεγόμενα ἐλέγχειν γεωμετρικῶς μᾶλλον ἢ γεωγραφικῶς. Ἔστι δὲ τοσοῦτο — πλεῖστα* (v. supra p. 22.), *ὥςτ' οὐκ ἄξιον ἡγοῦμαι διαιτᾶν. — Καὶ τῶν διαστημάτων τὰ πλεῖστα φανερῶς ψευδογραφούμενα ἐλέγχει τὴν ἀπειρίαν τῶν τόπων ὑπερβάλλουσαν.* — (p. 93.) *οἷον ὅτι ἐξ Ἐπιδάμνου πρὸς τὸν Θερμαῖον κόλπον ἡ ὑπέρβασίς ἐστι πλειόνων ἢ διςχιλίων σταδίων, ὁ δ' ἐννακοσίων φησίν· ἐκ δ' Ἀλεξανδρείας εἰς Καρχηδόνα ὑπὲρ μυρίους καὶ τριςχιλίους, οὐ πλείους ὄντας τῶν ἐννακιςχιλίων· εἴπερ ἐπὶ τοῦ αὐτοῦ ἐστι μεσημβρινοῦ κατὰ τοῦτον, τῇ μὲν Ἀλεξανδρείᾳ Καρία καὶ Ῥόδος, τῇ δὲ Καρχηδόνι ὁ πορθμός.* (Ultima ob nexum tantum sententiarum hic relicta pertinent ad fr. LII.) — *Ὁ δὲ καὶ τὴν Ῥώμην τιθεὶς ἐπὶ ταὐτοῦ μεσημβρινοῦ, τὴν τοσοῦτον καὶ Καρχηδόνος δυσμικωτέραν.* — Quorum omnium ne tantillum quidem Eratostheni quisquam vitio verterit. In universum haec ibidem Strabo observat: *Καὶ νῦν δ' εἰρήσθω, ὅτι καὶ Τιμοσθένης καὶ Ἐρατο-*

---

*) Idem p. 108. *Ἐκεῖνος μὲν γὰρ τρεῖς (ἄκρας) ἔφη, τὴν ἐπὶ τὰς στήλας καθήκουσαν, ἐφ' ἧς ἡ Ἰβηρία, καὶ τὴν ἐπὶ τὸν πορθμόν, ἐφ' ἧς ἡ Ἰταλία, καὶ τρίτην τὴν κατὰ Μαλέας, ἐφ' ἧς τὰ μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ Εὐξείνου πάντ' ἔθνη καὶ τοῦ Τανάϊδος.* Polybius et Strabo illa pingui Minerva attrectaverunt; facile enim, si modo promontoria enumeraturus erat, plura colligere potuisset; at potius ea designavit, quibus terrae ad unam quandam formam redactae terminarentur.

σθένης καὶ οἱ ἔτι τούτων πρότεροι τελέως ἠγνόουν τά τε Ἰβηρικὰ καὶ τὰ Κελτικά, μυρίῳ δὲ μᾶλλον τὰ Γερμανικὰ καὶ τὰ Βρετανικά, ὡς δ' αὔτως τὰ τῶν Γετῶν καὶ Βασταρνῶν. Ἐπιπολὺ δ' ἀγνοίας ἐτύγχανον ἀφιγμένοι καὶ τῶν κατ' Ἰταλίαν καὶ τὸν Ἀδρίαν, καὶ τὸν Πόντον, καὶ τῶν ἐφεξῆς μερῶν τῶν προσαρκτικῶν· εἰ καὶ τὰ τοιαῦτα ἴσως φιλαίτια. Τοῦ γὰρ Ἐρατοσθένους ἐπὶ τῶν πόῤῥω διεστηκότων τὰ παραδεδομένα φάσκοντος ἐρεῖν διαστήματα, μὴ διϊσχυριζομένου δέ, καὶ λέγοντος ὡς παρέλαβε, προστιθέντος δ' ἔστιν ὅπου τὰ ἐπ' εὐθείας μᾶλλον καὶ ἧττον, οὐ δεῖ προσάγειν τὸν ἀκριβῆ ἔλεγχον τοῖς μὴ ὁμολογουμένοις πρὸς ἄλληλα διαστήμασιν. Addatur

LXI. Idem p. 104. v. supra p. 12.

LXII. Πάλιν δὲ τοῦτο μὲν ὀρθῶς ἀποφαίνεται (Πολύβιος), ὅτι ἀγνοεῖ τὰ Ἰβηρικὰ ὁ Ἐρατοσθένης, καὶ διότι περὶ αὐτῆς ἔσθ' ὅπου τὰ μαχόμενα ἀποφαίνεται, ὅς γε μέχρι Γαδείρων ὑπὸ Γαλατῶν περιοικεῖσθαι φήσας τὰ ἔξωθεν αὐτῆς, εἴ γε τὰ πρὸς δύσιν τῆς Εὐρώπης μέχρι Γαδείρων ἔχουσιν ἐκεῖνοι· τούτων οὖν ἐκλαθόμενος κατὰ τὴν τῆς Ἰβηρίας περίοδον τῶν Γαλατῶν οὐδαμοῦ μέμνηται. Mihi quidem suspicio sedet, Eratosthenem, si quidem illius sunt εἴ γε — ἐκεῖνοι, obiter de Gallis mentione iniecta, ut Strabonis verba significant, dubitationem suam addidisse, ac proinde satis idoneam ipsi caussam, cur in Iberia describenda omitteret, affuisse.

In re dubia sequentia maxime ob Epidamni nomen hic, quam in disquisitione de intervallis collocare malui, cum praesertim quin Eratosthenes de iisdem mensuris passim disseruerit dubium esse nequeat.

LXIII. Idem p. 106. Ἑξῆς δὲ τὰ τοῦ Ἐρατοσθένους ἐπανορθοῖ (Πολύβιος), τὰ μὲν εὖ, τὰ δὲ χεῖρον λέγων, ἢ ἐκεῖνος. Ἐξ Ἰθάκης μὲν γὰρ εἰς Κέρκυραν τριακοσίους εἰπόντος, πλείους φησὶν εἶναι τῶν ἐννακοσίων· ἐξ Ἐπιδά-

μνου δὲ εἰς Θεσσαλονίκειαν ἐννακοσίους ἀποδόντος, πλείους τῶν δισχιλίων φησί· ταῦτα μὲν εὖ. Ἀπὸ δὲ Μασσαλίας ἐπὶ στήλας λέγοντος ἑπτακισχιλίους, ἀπὸ δὲ Πυρήνης ἑξακισχιλίους, αὐτὸς λέγει χεῖρον —· ἐγγυτέρω γὰρ τῆς ἀληθείας ἐκεῖνος εἴρηκεν.

LXIV. Idem p. 123. Τῆς δὲ μεγάλης Σύρτεως φησιν Ἐρατοσθένης τὸν κύκλον εἶναι πεντακισχιλίων, τὸ δὲ βάθος χιλίων ὀκτακοσίων, ἀφ' Ἑσπερίδων εἰς Αὐτόμαλα καὶ τὸ τῆς Κυρηναίας μεθόριον πρὸς τὴν ἄλλην γῆν, τὴν ταύτῃ Λιβύην.

In hac vicinia vel paullo ante, ut Strabo facit, haec protulerit:

LXV. Plinius III, 10. Eratosthenes autem inter ostium Oceani et Sardiniam quidquid est, Sardoum (fretum appellat).

LXVI. Strabo p. 134. διήκει δ' ὁ παράλληλος οὗτος κατ' Ἐρατοσθένη διὰ Καρίας, Λυκαονίας, Καταονίας, Μηδίας, Κασπίων πυλῶν, Ἰνδῶν τῶν κατὰ Καύκασον.

Ibidem: μικρὸν ἀρκτικώτερός ἐστιν, ὁ διὰ Λυσιμαχίας, ὅν φησιν Ἐρατοσθένης διὰ Μυσίας εἶναι (lege ἰέναι, ut fr. LVII.) καὶ Παφλαγονίας καὶ τῶν περὶ Σινώπην καὶ Ὑρκανίαν καὶ Βάκτρα.

LXVII. Idem p. 135. de locis circa Borysthenem: Φησὶ δ' Ἐρατοσθένης τούτους τῆς Μερόης διέχειν μικρῷ πλείους ἢ δισμυρίους τρισχιλίους. διὰ γὰρ Ἑλλησπόντου εἶναι μυρίους ὀκτακισχιλίους, εἶτα πεντακισχιλίους εἰς Βορυσθένη.

His omnibus subiungenda videntur a Strabone tradita II. p. 97. quae multis in locis usui venire poterant:

LXVIII. Εἰ δ', ὥσπερ Ἐρατοσθένης φησίν, ὑποπίπτουσα (ζώνη) τῷ ἰσημερινῷ ἐστιν εὔκρατος. Miro errore Gossellinus p. 38. quae Polybii sunt Eratostheni attribuit.

Sed

Sed tandem aliquando ad notitias regionum per Geographica expositas transgrediendum est, in quibus enumerandis Strabonis, quia Eratosthenicus latet, ordo tutissime in plerisque sequendus videtur.

Iberia.

De qua nonnulla paullo ante reperiuntur; tres praeterea locos Strabo subministrat.

LXIX. Libro III. p. 159. Ἐρατοσθένης δὲ καὶ ναύσταθμον ἔχειν φησὶν αὐτὴν (Ταρακῶνα)· οὐδὲ ἀγκυροβολίοις σφόδρα εὐτυχοῦσαν, ὡς ἀντιλέγων εἴρηκεν Ἀρτεμίδωρος.

LXX. Ibid. p. 170. Ἔνιοι δὲ στήλας ὑπέλαβον τὴν Κάλπιν καὶ τὴν Ἀβύλυκα, τὸ ἀντικείμενον ὄρος τῆς Λιβύης, ὅ φησιν Ἐρατοσθένης ἐν τῷ Μεταγωνίῳ, νομαδικῷ ἔθνει, ἱδρῦσθαι. — Ἀρτεμίδωρος δὲ — φησὶν εἶναι — οὐδ' Ἀβύλυκα ὄρος, οὐδὲ Μεταγώνιον ἔθνος. (Sed agnoscit Strabo XVII. p. 829.) — Καὶ Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς στήλας.

LXXI. Ibid. p. 148. καὶ Ἐρατοσθένης δὲ τὴν συνεχῆ τῇ Κάλπῃ Ταρτησσίδα καλεῖσθαί φησι, καὶ Ἐρύθειαν νῆσον εὐδαίμονα. Πρὸς ὃν Ἀρτεμίδωρος ἀντιλέγων, καὶ ταῦτα φησι ψευδῶς λέγεσθαι ὑπ' αὐτοῦ, καθάπερ καὶ τὸ ἀπὸ Γαδείρων ἐπὶ τὸ ἱερὸν ἀκρωτήριον διάστημα ἀπέχειν ἡμερῶν πέντε πλοῦν, οὐ πλειόνων ὄντων ἢ χιλίων καὶ ἑπτακοσίων σταδίων. Καὶ τὸ τὰς ἀμπώτεις μέχρι δεῦρο περατοῦσθαι, ἀντὶ τοῦ κύκλῳ περὶ πᾶσαν τὴν οἰκουμένην συμβαίνειν, καὶ τὸ τὰ προσαρκτικὰ μέρη τῆς Ἰβερίας εὐπαραδοξότερα εἶναι πρὸς τὴν Κελτικήν, ἢ κατὰ τὸν ὠκεανὸν πλέουσι· καὶ ὅσα δὴ ἄλλα εἴρηκε Πυθέᾳ πιστεύσας δι' ἀλαζονείαν.

LXXII. Steph. Byz. v. Γάδειρα. — Ἐρατοσθένης δὲ ἡ Γάδειρά φησι θηλυκῶς.

Germania.

De qua unicum satis mirabile fragmentum superest.

LXXIII. Caesar de B. G. VI, 24. Itaque ea quae fertilissima sunt Germaniae loca circum Hercyniam silvam, quam Eratostheni et quibusdam Graecis fama notam esse video, quam illi Orcyniam appellant, Volcae Tectosages occupaverunt. Davisii imperitiam exagitare nihil attinet.

Corsica et Sardinia.

LXXIV. Strabo V. p. 224. Οὔτ' οὖν Ἐρατοσθένης ὀρθῶς ὁ φήσας μὴ καθορᾶσθαι μήτε τὴν Κύρνον ἐκ τῆς ἠπείρου, μήτε τὴν Σαρδόνα.

Illyris.

LXXX. Τοιαῦτα δὲ καὶ — συγγραφέων, Polybii apud Strabonem verba vide supra p. 12.

LXXVI. Scymnus Chius de chersoneso Hyllica v. 411.

ἐκβαρβαρωθῆναι δὲ τούτους τῷ χρόνῳ
τοῖς ἤθεσιν ἱστοροῦσι τοῖς τῶν πλησίον,
ὥς φασι Τίμαιός τε καὶ Ἐρατοσθένης.

Appendicis loco sit fragmentum

LXXVII. Schol. Apollonii Rh. IV, 1215. Καὶ Ἐρατοσθένης ἐν γ̄ Γεωγραφουμένων φησί· Μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος, Φαρίων ἄποικος.

Epirus et Macedonia.

LXXVIII. Schol. Odysseae Mediol. γ'. 188. Νεοπτόλεμος κατὰ κέλευσιν Θέτιδος ἐμπρήσας τὰ ἴδια σκάφη πεζὸς ἄνεισι· χρησθεὶς δὲ ὑπὸ Ἑλένου, ἔνθα ἂν ἴδοι οἶκον ἐκ σιδηρείων θεμελίων, τοίχων δὲ ξυλίνων καὶ ὀρόφου ἐρεοῦ (verba depravata sic correxeris, ἀντὶ τοίχων δὲ ξ. ἐξ ὀ. ἐ.), ἐκεῖ μένειν, ἐλθὼν ἐς τὴν Παραβῶτιν (Παμβῶτιν) λίμνην τῆς Ἠπείρου, καὶ τοὺς ἐγχωρίους εὑρὼν δόρατα πήξαντας καὶ χλαίνας ἄνωθεν κατασκηνοῦντας, συμβάλλει τὸν χρησμόν. καὶ πορθήσας (lege κρατήσας) τὴν Μολοσσίαν, ἐξ Ἀνδρομάχης ἴσχει Μολοσσόν, ἀφ' οὗ καὶ τὸ γένος ἐστὶ τῶν ἐν Μολοσσίᾳ βασιλέων, ὡς ἱστορεῖ Ἐρατοσθένης.

LXXIX. Schol. (Venet. Lips. Wassenb.) Il. α'. 594. *Ἐρατοσθένης δὲ (Πελασγοὺς φησι Σίντιας προσαγορευθῆναι), ἐπεὶ γόητες ὄντες εὗρον δηλητήρια φάρμακα.*

LXXX. Steph. Byz. v. *Δυῤῥάχιον. Ἐρατοσθένης γ' Γεωγραφουμένων· Ἐχόμενοι οἰκοῦσι Ταυλάντιοι. Πόλις δὲ Ἑλληνὶς Ἐπίδαμνος ἐπὶ Χεῤῥονήσου τῆς καλουμένης Δυῤῥαχίου. Ποταμοὶ δὲ Δρίλος καὶ Ἀῶος, περὶ οὓς οἱ Κάδμου καὶ Ἁρμονίας τάφοι δείκνυνται. Ὅμως δὲ νῦν Δυῤῥαχηνοὶ λέγονται. οὕτω γὰρ καὶ Βάλαγρος ἐν Μακεδονικοῖς φησι· καὶ τούτων αἱ πόλεις Δυῤῥαχηνοῖς τε καὶ Ἀπολλωνιάταις ἐπιδιήρηνται.* Balagri nomen suspectum est *). Ceterum quae Athenaeus praebet XI. p. 462. B. *Πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυριοῖς τόπος διαβόητός ἐστιν, ὁ καλούμενος Κύλικες, παρ' ᾧ ἐστι τὸ Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν·* in iis princeps vocabulum movet suspicionem.

LXXXI. Idem: *Αὐταριᾶται, ἔθνος Θεσπρωτικόν. Χάραξ ἑβδόμῃ χρονικῶν, καὶ Φαβωρῖνος ἐν παντοδαπαῖς, καὶ Ἐρατοσθένης.*

LXXXII. Idem: *Ἴχναι, πόλις Μακεδονίας. — Ἐρατοσθένης δὲ Ἄχνας αὐτήν φησι.*

## Graecia.

LXXXIII. Eustathius ad Il. β'. p. 302, 27. = 228, 48. *Ἰστέον δέ, ὅτι ἐν τοῖς Παυσανίου φέρεται, ὅτι Ἀρκὰς κυνῆ ἐλέγετό τις, ἤτοι Ἀρκαδικὸς πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκός τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκάς, καὶ ὅτι Ἐρατοσθένης παρὰ Ἀρκάσι φησὶ φελλόν, μέσον τι πρίνου καὶ δρυός, ὅ ἐνίους θηλύπρινον καλεῖν, καὶ ὅτι παροιμία ἦν τό, Ἀρκάδας μιμούμενος, ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων· μαχιμώ-*

---

*) *Βάλακρον τὸν Νικάνορος* cum Macedonem memoret Diodorus T. II. p. 275, 93, de cuius nominis caussa videndus Valckenarius ad Callimachea p. 39, vulgatum vero nihil adeo habeat quo explicetur: illud restituendum videtur.

τατοι γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν. Ultima praeter Suidam memorat etiam Hesychius, iisdemque verbis Anecd. Bekk. p. 218; idem praeterea: Ἀρκὰς κυνῆ, Ἀρκαδικὸς πῖλος, Σοφοκλῆς Ἰνάχῳ. Tandem de φελλῷ disserit Pausanias VIII, 12. init. ubi vid. Kuhnius.

LXXXIV. Bekk. Anecd. Gr. p. 1393. Τὸ Λάδων· ἔστι δὲ ὄνομα ποταμοῦ· ὑπὸ Ἀντιμάχου διὰ τοῦ ω̄ κέκλιται ἀναλόγως, οἷον Λάδωνος· ὡσαύτως δὲ καὶ ὑπὸ Ἐρατοσθένους ἐκλίθη Λάδωνος. Est haec Georg. Choerobosci observatio et perdocta, et indocta, siquidem vix aliam formationem reppereris.

LXXXV. Strabo VIII. p. 348. Κατεκλύσθη δὲ Ἑλίκη δυσὶν ἔτεσι πρὸ τῶν Λευκτρικῶν. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἰδεῖν φησι τὸν τόπον, καὶ τοὺς πορθμέας λέγειν, ὡς ἐν τῷ πόρῳ ὀρθὸς ἑστήκει Ποσειδῶν χάλκεος, ἔχων ἱππόκαμπον ἐν τῇ χειρί, κίνδυνον φέροντα τοῖς δικτυεῦσιν. Cf. Pausan. VII, 24. Hunc locum si tenuisset Blomfieldius ad Aesch. S. Th. 124, neque Plutarcho, deorum cuiquam ab piscium venatione cognomen obtigisse perneganti, Aeschylum obmovisset, neque plane alieno vocabulo ἰχθυόκεντρον usurus fuisset. Poetae enim ἰχθυβόλος μαχανά ipse hippocampus est, quem Neptuno attributum fuisse in florentissima illius cultrice locus Eratosthenis praestat. Qui quod hippocampum tradit κίνδυνον φέροντα τοῖς δικτυεῦσιν, explicationem forte accipiet narratione Pancratis ap. Athen. VII. p. 283. A. de sacro pisce.

LXXXVI. Idem ib. p. 389. Ἐρατοσθένης δέ φησι, περὶ Φενεὸν μὲν τὸν Ἀνίαν καλούμενον ποταμὸν λιμνάζειν τὰ πρὸ τῆς πόλεως, καταδύεσθαι δ' εἴς τινας ἰσθμούς, οὓς καλεῖσθαι ζέρεθρα (Valcken. ad Phoen. 45.)· τούτων δ' ἐμφραχθέντων, ἔσθ' ὅτε ὑπερχεῖσθαι τὸ ὕδωρ εἰς τὰ πεδία· πάλιν δ' ἀναστομουμένων ἄθρουν

ἐκ τῶν πεδίων ἐκπεσὸν εἰς τὸν Λάδωνα καὶ εἰς τὸν Ἀλφειὸν ἐμβάλλειν, ὥςτε καὶ τῆς Ὀλυμπίας ποτὲ κλυσθῆναι τὴν περὶ τὸ ἱερὸν γῆν, τὴν δὲ λίμνην συσταλῆναι. Τὸν Ἐρασῖνον δὲ περὶ Στύμφαλον ῥέοντα, ὑποδύντα ὑπὸ τὸ ὄρος, ἐν τῇ Ἀργείᾳ πάλιν ἀναφανῆναι· διὸ δὴ καὶ Ἰφικράτη πολιορκοῦντα τὸν Στύμφαλον καὶ μηδὲν περαίνοντα ἐπιχειρῆσαι τὴν κατάδυσιν ἀποφράξαι, σπόγγους πορισάμενον πολλούς, παύσασθαι δὲ διοσημίας γενομένης. Cf. Pausan. VIII, 14. Ea fluminum Arcadicorum natura a novitia ipsorum origine, quam Callimachus exposuit hymno in Iovem, repetenda videtur.

LXXXVII. Vita Arati ap. Petav. p. 269 init. ἀλλ' ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ (Ἀθηνῶν) οἱ πολῖται Ἀθηναῖοι, ἀπὸ δὲ τῶν ἐν Εὐβοίᾳ Ἀθηνῆται λέγονται, ὥςπερ Ἐρατοσθένης φησὶν ἐν τῷ πρώτῳ γεωγραφουμένων. Legendum ἐν τῷ τρίτῳ. De urbe videndus Valckenarius Diatrib. p. 144. Satis inconsulto de Anonymi loco Ancherus extrema sua commentatione opinionem erroribus accumulatis protulit; sibi enim Strabonem p. 15. id significasse videri, suam ipsius vitam Athenis transactam in historia geographiae ac proinde in primo libro Eratosthenem enarrasse; forsan hac occasione quaedam ad historiam Athenarum pertinentia obiter attigisse, et quidem fragmento nunc ipsum tractato. De priore quidem ista sententia cum Philosophicorum Nostri mentio iniecta erit, paucis disputabitur; alteram vero duplici argumento futilitatis coargui hisce intelligitur. Ponas licet, Geographicorum primo vitam suam Eratosthenem commemorasse; iam quanam machina tale quid commenti, res Atticas obiter expositas, illius ingenio intuleris? Polemonibus, non tanto viro istiusmodi doctrinae abusum exprobraveris. Nihilominus, licet absurdum, hoc quoque concessum sit. At his paucis ab Anonymo excerptis nihil historiis Atticis conveniens inest, nec quicquam illic vocem Ἀθηναῖος Atheniensem de-

signare, id vero pronunciatum fuisse sibi persuaserit. Sed libro tertio illa occurrisse, patet vel fr. CIII.

LXXXVIII. Ammianus Marcellinus XII, 8, 10. Omnis autem eius (maris Aegaei) velut insularis circuitus litorea navigatio viginti tribus dimensa millibus stadiorum, ut Eratosthenes affirmat, et Hecataeus, et Ptolemaeus, aliique huiusmodi cognitionum minutissimi scrutatores, in speciem Scythici arcus nervo coagmentati geographiae totius assensione formatur.

LXXXIX. Ad Aeginam spectat Servius ad Aeneid. II, 7, ubi exposita Myrmidonum fabulosa origine ita pergit: sed hoc fabula est: nam Eratosthenes dicit, Myrmidonas a rege Myrmidono dictos, Jovis et Eurymedusae filio. Sic Isidorus Etymolog. IX, 2, 75. Eratosthenes autem dicit, dictos Myrmidones a Myrmidone duce, Jovis et Eurimedusae filio. Eandem doctrinam, Mythographorum etymologiis longe praestantiorem, servavit Clemens Alex. Protrept. p. 34, cuius auctor latuerat Heynium obss. ad Apollod. p. 306.

XC. Schol. Platonis Ruhnk. p. 61. *Σιβύλλαι. Τετάρτη, Ἰταλική, ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατριβὴν λαχοῦσα, ἧς υἱὸς ἐγένετο Εὔανδρος, ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερόν, τὸ καλούμενον Λούπερκον, κτίσας· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης.* Haec manifesto falsa non ipsi Scholiastae, sed librario tribuenda sunt, qui ultima alieno loco collocaverit. Confer Suidam v. *Σίβυλλαι. ἕκτη, Σαμία, ἡ κυρίῳ ὀνόματι καλουμένη Φυτώ· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης·* et Lactantium I, 6, p. 25. (Paris. 1748.) Sextam (Sibyllam) Samiam, de qua scribit Eratosthenes in antiquis annalibus Samiorum repperisse se scriptum. Annales isti nihil aliud quam *Σαμιακὰ* vetusti cuiusdam logographi fuisse videntur: de quo argumento disseruit Schweighaeus. ad Athen. T. II. p. 647. sq. Liberalior hinc Fabricius Bibl. Gr. IV. p. 127. librum *περὶ Σιβύλλης* eruit, dubitan-

ter tamen; fortasse enim chronologia Eratosthenem illud argumentum tractavisse.

XCI. Aelianus hist. anim. VII, 48. *Ἴδιον δὴ τῶν ζώων καὶ ἡ μνήμη· καὶ συνῳδὸν τοῖς προειρημένοις, καὶ ἐς τὸ αὐτὸ δ' ἐστὶν εὔδοντος ἐν τῇ Σάμῳ ἐπὶ τοῦ κεχηνότος Διονύσου νομίζοιτο ἂν καὶ τὸ φωλιὸν εἰδέναι. Καὶ τοῦτο ἀκουέτω Ἐρατοσθένους τε καὶ Εὐφορίωνος καὶ ἄλλων περιηγουμένων αὐτό.* Tilleri coniecturas tacere praestat. Non multo felicior Schneiderus suspicabatur, *ἐπεὶ τὸ τοῦ κ. Δ. ἄγαλμα ν. ἂν τις καὶ τῶν ἀποφωλίων εἰδέναι· εἰ δὲ μή, καὶ τοῦτο ἀκουέτω·* quorum *εἰ δὲ μή* praecedentibus manifesto repugnat. Primum Plinii verba VIII, 16. subiiciam: Simili modo Elpis Samius ratione, in Africam delatus nave, iuxta litus conspecto leone hiatu minaci, arborem fuga petit, Libero patre invocato —. Neque profugienti, cum potuisset, fera institerat, et procumbens ad arborem, hiatu quo terruerat miserationem quaerebat. Os morsu avidiore inhaeserat dentibus, cruciabatque inedia, tum poena in ipsis eius telis, suspectantem ac velut mutis precibus orantem: dum fortuitu fidens non est contra feram, multo diutius miraculo quam metu cessatum est. Degressus tandem evellit praebenti, et quam maxime opus esset accommodanti. Traduntque, quamdiu navis ea in litore steterit, rettulisse gratiam venatus aggerendo. Qua de caussa Libero Patri templum in Samo Elpis sacravit, quod ab eo facto Graeci *κεχηνότος Διονύσου* appellavere. Iam Liberum hiantem ibi exhibitum fuisse nemo crediderit, sed potius illud cognomen ab effigie leonis tandem fluxisse. Si quid simile ab hoc numine depromptum requiris, memoratur ab Athenaeo II. p. 38. C. ara *Ὀρθοῦ Διονύσου;* neque longius abludit *Ἀφροδίτης Πόρνης ναός*, prolatus apud eundem XIII. p. 572. F. Hoc *Διονύσου κεχηνότος* insigne ad ambiguum sensum facetissime detorsit

Callimachus epigr. LI., cui coactam Bentleius interpretationem admovit:

— *ἐγὼ δ᾽ ἀνὰ τήνδε κεχηνὼς*
*κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικὸς*
*παιδαρίων Διόνυσος ἐπήκοος.*

Illud *τοῦ Σαμίου* poetae mentem perspicue indicat. Constructio est: *ἐγὼ δ᾽ ἀνάκειμαι κεχηνώς* (*Διόνυσος* ego *κεχηνώς*, simulque hians ad puerorum exercitationes), *τήνδε τοῦ Σαμίου διπλόον* (i. q. *διπλοΐδα*, duplici veste,*) Samii donario, indutus, quomodo accusativum maxime recentiores, inprimis Lucianus, scriptis suis intulerunt.). Sed Aelianum ita tentarim: *καὶ συνῳδὸν τοῖς πρ. καὶ ἐς τὸ αὐτὸ τεῖνον* (vel *ὄν*, ut Schol. Eurip. Orest. 903.) *ἔστιν εὑρεῖν λέοντος ἐν τῇ Σάμῳ ξόανον, ἱερὸν τοῦ κεχηνότος Διονύσου νομιζόμενον, καὶ οὐκ ἀποφώλιον εἰδέναι; ὄν* ante *εἰδέναι* non opus est.

His connectenda de vicinis regionibus ex Eratosthenis libro memorata:

XCII. Schol. Apollonii Rh. IV, 310. *Ἐρατοσθένης ἐν γ̄ Γεωγραφικῶν νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην τῇ Ῥόδῳ, ἣν Πεύκην λέγει* (f. *λέγεσθαι*) *διὰ τὸ πολλὰς ἔχειν πεύκας. Καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς, πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ, ἀγκῶνα ἐκάλεσε· τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, εὖρος.* Eadem IV, 284. *Ἐρατοσθένης δὲ ἐν τρίτῳ Γεωγραφικῶν* [*φησι τὸν Ἴστρον*] *ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην.*

### Pontus Euxinus, Phasis, Caucasus.

XCIII. Schol. Eurip. Med. 2. *Τὰς δὲ Συμπληγάδας ὁ Σιμωνίδης συνορμάδας φησίν. Ἐρατοσθένης δὲ ἐν γεωγραφουμένοις φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ*

---

*) *Δίπλακα* dignitatis honorisque insigne inde ab antiquissimis temporibus exhibuisse docent iam loca Homerica. Minervam ea indutam observavit Heynius ad Iliad. T. IV. p. 475.

σκολιόν, δι' οὗ (leg. ὃ) φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν. Temere ut solet sua corrasit Tzetzes ad Lycophr. 1285. Ὁ δὲ Ἐρατοσθένης Συνορμάδας καλεῖ, κεκρυμμένως δὲ καὶ λεληθότως περὶ τὸν Εὔξεινον πόντον φησίν, ἤτοι περὶ τὸ Στενόν: quae omnia Eratosthenes ignoravit. Notandum, recentissimos editores, praeeunte Seidelio p. 149, pro sua grammaticae peritia κεκρυμμένας — λεληθότας emendasse, nescios, ipso eo modo et accuratissimum quemque et Scholiastas non raro locutos fuisse. Exempla nimium me detinerent; interim observetur, frustra Marklandum ad Iphig. T. 955. in Schol. Eurip. Alc. 724. κακῶς ἐλέγξαντος, obnitente eodem 1042. εὐκλεῶς ἡγησάμην, frustra et Abreschium et Blomfieldium gloss. S. Th. 867. Scholion Aesch. Choeph. 148. παιᾶνα εἶπε κακῶς, attigisse. Eiusmodi locutio potest hoc ipso in libro reperiri: v. de Comoedia antiq. fr. XXI.

XCIV. Schol. Apollonii Rh. II, 399. Ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης· ἐκδίδωσι δὲ εἰς Κόλχους κατὰ θάλασσαν. Rectius Scholia Paris. καὶ εἰς τὴν Κολχίδα ἐκδίδωσι θάλασσαν. Conferantur eadem Schol. IV, 259. Τοῦτο δὲ ὁ Ἐφέσιος Ἀρτεμίδωρος ψεῦδός φησιν εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ' ἐξ ὀρέων καταφέρεσθαι. Τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ̅ Γεωγραφικῶν φησι.

XCV. Strabo II. p. 74. Ὁ δ' Ἐρατοσθένης καὶ τουτὶ τὸ γράμμα προφέρεται τὸ ἐν τῷ Ἀσκληπιείῳ τῶν Παντικαπαιέων ἐπὶ τῇ ῥαγείσῃ χαλκῇ ὑδρίᾳ διὰ τὸν πάγον·

*Εἴ τις ἄρ' ἀνθρώπων μὴ πείθεται, οἷα παρ' ἡμῖν*
*γίγνεται, εἰς τήνδε γνώτω ἰδὼν ὑδρίαν,*
*ἣν οὐχ ὡς ἀνάθημα θεοῦ καλόν, ἀλλ' ἐπίδειγμα*
*χειμῶνος μεγάλου θῆχ' ἱερεὺς Στράτιος.*

XCVI. Schol. Apoll. Rh. IV, 131. *Τοῦ Τηνῆνος (Paris. Τηνήνου) ποταμοῦ, ἀφ' οὗ καὶ ἡ χώρα Τηηνὶς κέκληται, μνημονεύει Ἐρατοσθένης ἐν Γεωγραφίᾳ.*

XCVII. Eadem II, 1247. *Τὰ προςαγορευόμενα Καυκάσια Ἐρατοσθένης πλησίον εἶναί φησι τῆς προςαγορευομένης Κασπιανῆς θαλάσσης.*

XCVIII. Strabo XI. p. 497. *Φησὶ δ' Ἐρατοσθένης ὑπὸ τῶν ἐγχωρίων καλεῖσθαι Κάσπιον τὸν Καύκασον, ἴσως ἀπὸ τῶν Κασπίων [πυλῶν] παρονομασθέντα.*

XCIX. Idem p. 507. *Φησὶ δ' Ἐρατοσθένης τὸν ὑπὸ τῶν Ἑλλήνων γνώριμον περίπλουν τῆς θαλάττης ταύτης [τῆς Κασπίας] τὸν μὲν παρὰ τοὺς Ἀλβανοὺς καὶ τοὺς Καδουσίους εἶναι πεντακιςχιλίων καὶ τετρακοσίων, τὸν δὲ παρὰ τῶν Ἀναριακῶν καὶ Μάρδων καὶ Ὑρκανῶν μέχρι τοῦ στόματος τοῦ Ὤξου ποταμοῦ τετρακιςχιλίων καὶ ὀκτακοσίων· ἔνθεν δ' ἐπὶ τοῦ Ἰαξάρτου διςχιλίων τετρακοσίων.* Eundem locum vertit Plinius VI, 15. Eratosthenes ponit et mensuram: ab exortu et meridie per Cadusiae et Albaniae oram quinquies mille CCCC. stad. Inde per Anariacas, Amardos (sic), Hyrcanos ad ostium Oxi fluminis quater mille DCCC. stad. Ab eo ad ostium Iaxartis MM. CCCC. Quae summa efficit quindecies centena septuaginta quinque mill. passuum. V. fr. CXVI.

Opiniones Eratosthenis de orientali Asia permulti secuti sunt, maxime geographi Latini: vide quos recenset Gossellinus Recherches T. III. p. 186.

## Asia Persis subiecta.

C. Eustathius ad Dionys. 772. p. 137. *Ἰστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς παρὰ τῷ Ἐρατοσθένει Ἄσσυρες οἱ Ἀσσύριοι λέγονται.*

CI. Strabo XVI. p. 743. *Γίνεται δ' ἐν τῇ Βαβυλωνίᾳ καὶ ἄσφαλτος πολλή, περὶ ἧς καὶ Ἐρατοσθένης*

*μὲν οὕτως εἴρηκεν· ὅτι ἡ μὲν ὑγρὰ ἣν καλοῦσι νάφθαν γίνεται ἐν τῇ Σουσίδι, ἡ δὲ ξηρὰ δυναμένη πήττεσθαι ἐν τῇ Βαβυλωνίᾳ. ταύτης δ' ἐστὶν ἡ πηγὴ τοῦ Εὐφράτου πλησίον· πλημμύροντος δὲ τούτου κατὰ τὰς τῶν χιόνων τήξεις, καὶ αὐτὴ πληροῦται, καὶ ὑπέρχυσιν εἰς τὸν ποταμὸν λαμβάνει· ἐνταῦθα δὲ συνίστανται βῶλοι μεγάλαι πρὸς τὰς οἰκοδομὰς ἐπιτήδειαι, τὰς διὰ τῆς ὀπτῆς πλίνθου.* Huius loci fuit immemor cum de voce *οἰκοδομή* ageret Lobeckius ad Phrynich. p. 488.

CII. IDEM p. 746. *Τὸ μὲν οὖν μέγιστον ὃ ἀφίστανται (ὁ Τίγρις καὶ Εὐφράτης) διάστημα ἀπ' ἀλλήλων, τὸ πρὸς τοῖς ὄρεσίν ἐστι· τοῦτο δ' ἂν εἴη τὸ αὐτό, ὅπερ εἴρηκεν Ἐρατοσθένης, τὸ ἀπὸ Θαψάκου, καθ' ὃ ἦν τὸ ζεῦγμα τοῦ Εὐφράτου τὸ παλαιὸν ἐπὶ τὴν τοῦ Τίγριος διάβασιν, καθ' ἣν διέβη Ἀλέξανδρος αὐτόν, δισχιλίων τετρακοσίων· τὸ δ' ἐλάχιστον μικρῷ πλέον τῶν διακοσίων κατὰ Σελεύκειάν που καὶ Βαβυλῶνα. — οὕτω δὲ σφοδρῶς διεκβάλλει (ὁ Τίγρις) τὴν λίμνην, ὥς φησιν Ἐρατοσθένης, ὥστε ἁλμυρὰν αὐτὴν οὖσαν καὶ ἄνιχθυν, γλυκεῖαν κατὰ τοῦτ' εἶναι τὸ μέρος καὶ ῥοώδη καὶ ἰχθύων πλήρη.*

CIII. STEPH. Byz. v. *Ταρσός. Ἐρατοσθένης δὲ τερσόν, διὰ τὸ πρότερον τῶν καρπῶν φθειρομένων ἐν τῷ παρακμάζειν, τούτους πρώτους συναγαγόντας τερσᾶναι, καὶ εἰς τὸν χειμῶνα ἀποθέσθαι τὴν τροφήν.* Fallitur Salmasius Plin. Exercitt. T. II. p. 869. a. B. legendum affirmans *διὰ τὸ ξηρότερον τῶν καρπῶν χλωρῶν, ὅτι φθειρομένων — πρώτους χλωρὸν —*, soloecismo insuper duplici admisso. Pergit Stephanus: *Ἐρατοσθένης δὲ (τὸν πολίτην) καὶ Ταρσηνόν φησιν.* Non adeo abhorret a superioribus Eustathii narratio ad Dionys. 867. *Ἐρατοσθένης δέ φησι τὴν κλῆσιν τῇ πόλει εἶναι ἀπὸ Διὸς Τερσίου τοῦ ἐκεῖ καλουμένου;* post artem enim fruges colligendi siccandique inventam *Δία Τέρσιον* colere potuerunt.

CIV. Plinius V, 33. Ex Asia interiisse gentes tradit Eratosthenes Solymorum, Lelegum, Bebrycum, Colycantiorum, Trepsedorum.

De Perside vide suo loco.

India.

In tabula Indiam Ptolemaei exhibenti minuta terrae effigies secundum Eratosthenem extat apud Mannertum T. V. In dimensionibus Indiae schoeno utebatur. Plinius XII, 30. Schoenus patet Eratosthenis ratione stadia XL., h. e. passuum quinque millibus. Cf. Strabonem sive Arrianum fr. CVIII. De schoeno inprimis Eratosthenico extat Danvillii commentatio in Mem. Acad. Inscr. t. 26. p. 92 sqq., quam qui otio et patientia abundat perleget. Sed afferendus est Athenaeus III. p. 122. A. *παρὰ τοῖς ἀρχαίοις ποιηταῖς καὶ συγγραφεῦσι τοῖς σφόδρα ἑλληνίζουσιν ἔστιν εὑρεῖν καὶ Περσικὰ ὀνόματα κείμενα, διὰ τὴν τῆς χρήσεως συνήθειαν· ὡς τοὺς παρασάγγας, καὶ τοὺς ἀστάνδας, καὶ τοὺς ἀγγάρους, καὶ τὴν σχοῖνον ἢ τὸν σχοῖνον· μέτρον δ' ἐστὶ τοῦτο ὁδοῦ, μέχρι νῦν οὕτω παρὰ πολλοῖς καλούμενον.* Et Callimachus fragm. DVI. *μὴ μετρεῖν σχοίνῳ Περσίδι τὴν σοφίην.*

De testibus in enarranda India excitatis supra actum est, quibus observatis haec addantur.

CV. Strabo II. p. 70. de Deïmacho et Megasthene fabulas tradentibus: *περὶ ὧν ἕτερος τὸν ἕτερον ἐλέγχει, ὅπερ καὶ Ἐρατοσθένης φησίν.*

CVI. Idem XV. p. 687. *Καὶ τὰ περὶ Ἡρακλέους δὲ καὶ Διονύσου Μεγασθένης μὲν μετ' ὀλίγων πιστὰ ἡγεῖται, τῶν δ' ἄλλων οἱ πλείους, ὧν ἐστι καὶ Ἐρατοσθένης, ἄπιστα καὶ μυθώδη, καθάπερ καὶ τὰ παρὰ τοῖς Ἕλλησιν.* Cf. Chronogr. fr. XV.

Idem II. p. 69. *Ἔτι φησὶν ὁ Ἵππαρχος ἐν τῷ δευτέρῳ ὑπομνήματι αὐτὸν τὸν Ἐρατοσθένη διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν, ἐκ τῆς πρὸς Μεγα-*

σθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρόν, τοῦ μὲν Μεγασθένους λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου· ἀπὸ γάρ τινος ἀναγραφῆς σταδίων ὁρμηθέντα τοῖς μὲν ἀπιστεῖν διὰ τὴν διαφωνίαν, ἐκείνῃ δὲ προσέχειν. Cf. fr. CIX. Hipparchi calumnias Strabo retudit. Illa ἀναγραφὴ vix alia quam Diogneti et Baetonis fuisse videtur.

In dimensionibus igitur terrae maiorem, quam in describenda eius virtute, fidem Megastheni habebat; proinde potuit Arrianus Indic. III. init. pronunciare: Ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι τῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει (ubi μετρήσεις crepat Schmiederus); potuit idem de Exped. Alex. V, 5. init. Ἀλλ' ὑπὲρ Ἰνδῶν ἰδίᾳ μοι γεγράψεται, ὅσα πιστότατα εἰς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες, καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ' Ἰνδοὺς Νέαρχος, ἐπὶ δὲ ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης, δοκίμω ἄνδρε, ξυνεγραψάτην; et insequenti fragmento. Insignem auctoritatem etiam Strabo XV. p. 688. Eratostheni concedit: Μάλιστα ἐκ τῆς διαίτης τῆς τότε πιστότατα εἶναι τὰ ὑπὸ τοῦ Ἐρατοσθένους ἐν τῷ τρίτῳ τῶν γεωγραφικῶν ἐκτεθέντα κεφαλαιωδῶς περὶ τῆς τότε νομιζομένης Ἰνδικῆς, ἡνίκα Ἀλέξανδρος ἐπῆλθε, καὶ ἦν ὁ Ἰνδὸς ὅριον ταύτης τε καὶ τῆς Ἀριανῆς.

CVII. Arrian. de Exped. Alex. V, 6, 2. Τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης, μεγίστην μὲν μοῖραν τῶν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης.

CVIII. Strabo XV. p. 689. Ἔστι δὲ τοιαῦτα, ἃ λέγει ὁ Ἐρατοσθένης. Τὴν Ἰνδικὴν περιώρικεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ Ταύρου τὰ ἔσχατα, ἀπὸ δὲ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θαλάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος Παροπαμισόν τε καὶ Ἠμωδὸν καὶ Ἰμάον

καὶ ἄλλα ὀνομάζουσι, Μακεδόνες δὲ Καύκασον· ἀπὸ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον καὶ τὸ προςεῷον πλευρόν, πολὺ μείζω τῶν ἑτέρων ὄντα, προπέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος, καὶ γίνεται ῥομβοειδὲς τὸ τῆς χώρας σχῆμα, τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεονεκτοῦντος παρὰ τὸ ἐναντίον πλευρὸν καὶ τριςχιλίοις σταδίοις, ὅσον ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς παραλίας καὶ τῆς μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξίσης ἐφ' ἑκάτερον παρὰ τὴν ἄλλην ἠϊόνα. Τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν στάδιοι μάλιστα λέγονται μύριοι τριςχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τῶν ἐκβολῶν αὐτοῦ· ὥςτ' ἀπεναντίον ἡ ἑωθινὴ προςλαβοῦσα τοὺς τῆς ἄκρας τριςχιλίους ἔσται μυρίων καὶ ἑξακιςχιλίων σταδίων. Τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ' ἐλάχιστον καὶ τὸ μέγιστον. Μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις (leg. σχοίνοις), καὶ ἔστιν ὁδὸς βασιλικὴ σταδίων διςμυρίων· τὰ δ' ἐπέκεινα στοχασμῷ λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης, διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων. εἴη δ' ἀντὶ σταδίων ἑξακιςχιλίων· ἔσται δὲ τὸ πᾶν ᾗ βραχύτατον μυρίων ἑξακιςχιλίων, ὡς ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μάλιστα λαβεῖν Ἐρατοσθένης φησί, καὶ ὁ Μεγασθένης οὕτω συναποφαίνεται. Πατροκλῆς δὲ χιλίοις ἔλαττόν φησι. (V. ad fr. CVI.) Τούτῳ δὴ πάλιν τῷ διαστήματι προςτεθὲν τὸ τῆς ἄκρας διάστημα, τὸ προςπίπτον ἐπὶ πλέον πρὸς τὰς ἀνατολάς, οἱ τριςχίλιοι στάδιοι ποιήσουσι τὸ μέγιστον μῆκος· ἔστι δὲ τοῦτο τὸ ἀπὸ τῶν ἐκβολῶν τοῦ Ἰνδοῦ ποταμοῦ παρὰ τὴν ἑξῆς ἠϊόνα μέχρι τῆς λεχθείσης ἄκρας καὶ τῶν ἀνατολικῶν αὐτῆς τερμόνων· οἰκοῦσι δ' ἐνταῦθα οἱ Κωνιακοὶ καλούμενοι. Cf. Arrian. Ind. III. Οὗτος ἀπὸ τοῦ ὄρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαί,

*παρ' αὐτὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔςτε ἐπὶ τὴν μεγάλην θάλασσαν καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολάς, μυρίους σταδίους καὶ τριςχιλίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῶν Ἰνδῶν. Ταυτηςὶ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην· ἀλλ' ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω εἰς τὸ πέλαγος ἐς τριςχιλίους σταδίους μάλιστα ἀνατείνουσαν τὴν ἄκρην· εἴη ἂν ὦν αὐτῷ ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω μυρίους καὶ ἑξακιςχιλίους σταδίους ἐπέχουσα. Τοῦτο μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει. Μῆκος δὲ τὸ ἀφ' ἑσπέρης ἐπὶ ἕω ἔςτε μὲν ἐπὶ πόλιν Παλίμβοθρα μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν· καὶ εἶναι γὰρ ὁδὸν βασιληΐην· τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους· τὰ δὲ ἐπέκεινα οὐκέτι ὡςαύτως ἀτρεκέα.* Illius mensurae Indiae diu imperium obtinuerunt. Ceterum qui nuper complures de numero Strabonis *σταδίων διςμυρίων* ex Arrianeis *τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους* immutando disseruerunt, non mediocri socordia de asini umbra dimicuerunt. Minimam utique longitudinem sedecim millia complexam Strabo perhibuit, simul admonens lateris fere sex millium stadiorum; quo ulteriori opinor lateri decem millia attribui certissime intelligitur. Atqui id ipsum tradit Arrianus, *τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους*. Quod si narratur, *καταμεμέτρηται γὰρ σχοίνοις, καὶ ἔστιν ὁδὸς βασιλικὴ σταδίων διςμυρίων*, quis est quin rudimentis Hellenismi leviter imbutus e vestigio perspiciat, de universa via, non eius parte, latere illo maiore, pronunciari?

CIX.* Idem II. p. 76. *Πάλιν δ' ἐκείνου τὸν Δηΐμαχον ἰδιώτην ἐνδείξασθαι βουλομένου καὶ ἄπειρον τῶν τοιούτων· οἴεσθαι γὰρ τὴν Ἰνδικὴν μεταξὺ κεῖσθαι τῆς τε φθινοπωρινῆς ἰσημερίας καὶ τῶν τροπῶν τῶν χειμερινῶν, Μεγασθένει τε ἀντιλέγειν, φήσαντι ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτε-*

σθαι, καὶ τὰς σκιὰς ἀντιπίπτειν· μηδέτερον γὰρ τούτων μηδαμοῦ τῆς Ἰνδικῆς συμβαίνειν· ταῦτα δὲ (non δὴ) φάσκοντος ἀμαθῶς λέγεσθαι· τό τε γὰρ τὴν φθινοπωρινὴν τῆς ἐαρινῆς διαφέρειν οἴεσθαι κατὰ τὴν διάστασιν τὴν πρὸς τὰς τροπάς, ἀμαθές, τοῦ τε κύκλου τοῦ αὐτοῦ ὄντος, καὶ τῆς ἀνατολῆς· τοῦ τε διαστήματος τοῦ ἐπὶ τῆς γῆς τροπικοῦ ἀπὸ τοῦ ἰσημερινοῦ, ὧν μεταξὺ τίθησι τὴν Ἰνδικὴν ἐκεῖνος, δειχθέντος ἐν τῇ ἀναμετρήσει πολὺ ἐλάττονος τῶν δισμυρίων σταδίων, συμβῆναι ἂν καὶ κατ' αὐτὸν ἐκεῖνον, ὅπερ αὐτὸς νομίζει, οὐχ ὅπερ ἐκεῖνος· δυοῖν μὲν γὰρ ἢ καὶ τριῶν μυριάδων οὖσαν τὴν Ἰνδικήν, οὐδὲ πεσεῖν μεταξὺ τοσούτου διαστήματος· ὅσον δ' αὐτὸς εἴρηκε, πεσεῖν ἄν. Τῆς δ' αὐτῆς ἀγνοίας εἶναι καὶ τὸ μηδαμοῦ τῆς Ἰνδικῆς ἀποκρύπτεσθαι φάσκειν τὰς ἄρκτους, μηδὲ τὰς σκιὰς ἀντιπίπτειν, ὅτε γε καὶ πεντακισχιλίους προελθόντι ἀπ' Ἀλεξανδρείας εὐθὺς συμβαίνειν ἄρχεται. Ταῦτα δὴ εἰπόντος, εὐθύνει πάλιν οὐκ εὖ ὁ Ἵππαρχος. Cf. p. 77.

CX. Hipparchus ap. Strab. II. p. 87. ταύτῃ δ' εἶναι παράλληλον τὸν Ἰνδὸν ποταμόν, ὥστε καὶ τοῦτον ἀπὸ τῶν ὀρῶν οὐκ ἐπὶ μεσημβρίαν ῥεῖν, ὥς φησιν Ἐρατοσθένης.

CXI. Strabo XI. p. 510. Ἐρατοσθένης δέ φησι καὶ ἐν τῇ Ἰνδικῇ φύεσθαι ἐλάτην, καὶ ἐντεῦθεν ναυπηγήσασθαι τὸν στόλον Ἀλέξανδρον· πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα συγκρούειν Ἐρατοσθένης πειρᾶται.

CXII. Idem XV. p. 690. Ἐκ δὲ τῆς ἀναθυμιάσεως τῶν τοσούτων ποταμῶν, καὶ ἐκ τῶν ἐτησίων, ὡς Ἐρατοσθένης φησί, βρέχεται τοῖς θερινοῖς ὄμβροις ἡ Ἰνδικὴ καὶ λιμνάζει τὰ πεδία.

CXIII. Idem p. 693. Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ διφόρον, καθάπερ καὶ Ἐρατοσθένης ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινόν, τὸν δὲ θερινόν, καὶ ὄμβρον

ὁμο-

ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους ἄνομβρον· ὥςτε εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης· τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλούς, καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις, τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς καὶ τοῦ ποταμίου. — Ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον.

CXIV. Idem p. 690. *Τὴν δὲ Ταπροβάνην πελαγίαν εἶναί φησι νῆσον, ἀπέχουσαν τῶν νοτιωτάτων τῆς Ἰνδικῆς τῶν κατὰ τοὺς Κωνιακοὺς πρὸς μεσημβρίαν ἡμερῶν ἑπτὰ πλοῦν, μῆκος μὲν ὡς ὀκτακιςχιλίων σταδίων ἐπὶ τὴν Αἰθιοπίαν, ἔχειν δὲ καὶ ἐλέφαντας. Τοιαῦται μὲν αἱ τοῦ Ἐρατοσθένους ἀποφάσεις.* Ante v. *ἔχειν* nonnulla excidisse monstrat tum illud *μέν, ἀναπόδοτον*, tum *δὲ καί*, quae superioribus neutiquam adaptari possunt. Clarius indicat Plinius VI, 24. Eratosthenes et mensuram prodidit, longitudinis VII. (sic) M. stad. latitudinis quinque M., nec urbes esse, sed vicoss eptingentos.

Indicis sequentia accedant:

CXV. Idem XV. p. 723. *Πολλὴ δ' ἐστὶ καὶ εἰς τὴν μεσόγαιαν ἀνέχουσα καὶ ἡ Γεδρωσία, μέχρι τοῦ συνάψαι Δράγγαις τε καὶ Ἀραχωτοῖς καὶ Παροπαμισάδαις, περὶ ὧν Ἐρατοσθένης οὕτως εἴρηκεν· οὐ γὰρ ἔχομέν τι λέγειν βέλτιον περὶ αὐτῶν. Ὁρίζεσθαι μὲν γάρ φησι τὴν Ἀριανὴν ἐκ μὲν τῶν πρὸς ἕω τῷ Ἰνδῷ, πρὸς νότον δὲ τῇ μεγάλῃ θαλάττῃ, πρὸς ἄρκτον δὲ τῷ Παροπαμισῷ καὶ τοῖς ἑξῆς ὄρεσι μέχρι Κασπίων πυλῶν, τὰ δὲ πρὸς ἑσπέραν τοῖς αὐτοῖς ὅροις, οἷς ἡ μὲν Παρθυηνὴ πρὸς Μηδίαν, ἡ δὲ Καρμανία πρὸς τὴν Παραιτακηνὴν καὶ Περσίδα διώρισται· πλάτος δὲ τῆς χώρας τὸ τοῦ Ἰνδοῦ μῆκος, τὸ ἀπὸ τοῦ Παροπαμισοῦ μέχρι τῶν ἐκβολῶν μύριοι καὶ διςχίλιοι στάδιοι· οἱ δὲ τριςχιλίους φασί. μῆκος δὲ ἀπὸ Κασπίων πυλῶν, ὡς ἐν τοῖς*

*Ἀσιατικοῖς σταθμοῖς ἀναγέγραπται, διττόν. Μέχρι μὲν Ἀλεξανδρείας τῆς ἐν Ἀρίοις ἀπὸ Κασπίων πυλῶν διὰ τῆς Παρθυαίας μία καὶ ἡ αὐτὴ ὁδός· εἶθ' ἡ μὲν ἐπ' εὐθείας διὰ τῆς Βακτριανῆς καὶ τῆς ὑπερβάσεως τοῦ ὄρους εἰς Ὀρτόσπανα διὰ τὴν ἐκ Βάκτρων τρίοδον, ἥτις ἐστὶν ἐν τοῖς Παροπαμισάδαις. ἡ δ' ἐκτρέπεται μικρὸν ἀπὸ τῆς Ἀρίας πρὸς νότον εἰς Προφθασίαν τῆς Δραγγιανῆς· εἶτα πάλιν ἡ Ληκτὴ* (coniecturae *λοιπή, αὐτή, ἑλικτή* verum non attingunt) *μέχρι τῶν ὅρων τῆς Ἰνδικῆς καὶ τοῦ Ἰνδοῦ, ὥστε μακροτέρα ἐστὶν αὕτη ἡ διὰ τῶν Δραγγῶν καὶ Ἀραχωτῶν, σταδίων μυρίων πεντακισχιλίων τριακοσίων ἡ πᾶσα.* p. 724. *Εἰ δέ τις ἀφέλοι τοὺς χιλίους τριακοσίους, ἔχοι ἂν τὸ λοιπὸν τὸ ἐπ' εὐθείας μῆκος τῆς χώρας μυρίων καὶ τετρακισχιλίων· οὐ πολὺ γὰρ ἔλαττον τῆς παραλίας· κἂν παραύξωσί τινες αὐτῶν, πρὸς τοῖς μυρίοις τὴν Καρμανίαν ἑξακισχιλίους τιθέντες· ἢ γὰρ ἂν σὺν τοῖς κόλποις φανοῦνται τιθέντες, ἢ σὺν τῇ ἐντὸς τοῦ Περσικοῦ κόλπου παραλίᾳ, τῇ Καρμανικῇ.* Reliqua nihil ad Eratosthenem pertinere videntur. Comparandus est:

CXVI. Idem XI. p. 513 sq. *Φησὶ δ' Ἐρατοσθένης τοὺς Ἀραχωτοὺς καὶ Μασσαγέτας τοῖς Βακτρίοις παρακεῖσθαι πρὸς Ὦξον· καὶ Σάκας μὲν καὶ Σογδιανοὺς τοῖς ὅλοις ἐδάφεσιν ἀντικεῖσθαι τῇ Ἰνδικῇ, Βακτρίους δ' ἐπ' ὀλίγον· τὸ γὰρ πλέον τῷ Παροπαμισῷ παρακεῖσθαι· διείργειν δὲ Σάκας μὲν καὶ Σογδιανοὺς τὸν Ἰαξάρτην, Σογδιανοὺς δὲ καὶ Βακτριανοὺς τὸν Ὦξον, μεταξὺ δὲ Ὑρκανῶν καὶ Ἀρίων Ταπύρους οἰκεῖν. Κύκλῳ δὲ περὶ τὴν θάλατταν μετὰ τοὺς Ὑρκανούς, Ἀμάρδους τε καὶ Ἀναριάκας, καὶ Καδουσίους, καὶ Ἀλβανούς, καὶ Κασπίους, καὶ Οὐιτίους, τάχα δὲ καὶ ἑτέρους μέχρι Σκυθῶν· ἐπὶ θάτερα δὲ μέρη τῶν Ὑρκανῶν Δέρβικας· τοὺς δὲ Καδουσίους συμψαύειν Μήδων καὶ Ματιανῶν ὑπὸ τὸν Παραχοάθραν. Τὰ δὲ διαστήματα οὕτω λέγει. Ἀπὸ μὲν τοῦ Κασπίου ἐπὶ τὸν Κύρον ὡς χι-*

*λίους ὀκτακοσίους ς'· ἔνθεν δ' ἐπὶ Κασπίας πύλας πεντακισχιλίους ἑξακοσίους· εἶτα εἰς Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις ἑξακισχιλίους τετρακοσίους· εἶτ' εἰς Βάκτραν τὴν πόλιν ἣ καὶ Ζαριάσπα καλεῖται τρισχιλίους ὀκτακοσίους ἑβδομήκοντα. Λέγει δὲ καὶ οὕτω τὰ διαστήματα. Ἀπὸ Κασπίων πυλῶν εἰς Ἰνδοὺς εἰς μὲν Ἑκατόμπυλον χιλίους ἐννακοσίους ἑξήκοντά φησιν· εἰς δ' Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις τετρακισχιλίους πεντακοσίους τριάκοντα· εἶτ' εἰς Προφθασίαν τὴν ἐν Δραγγῇ χιλίους χ'· οἱ δὲ φ'· εἶτ' εἰς Ἀραχωτοὺς τὴν πόλιν τετρακισχιλίους ἑκατὸν εἴκοσιν· εἶτ' εἰς Ὀρτόσπανα ἐπὶ τὴν ἐκ Βάκτρων τρίοδον δισχιλίους· εἶτ' εἰς τὰ ὅρια τῆς Ἰνδικῆς χιλίους· ὁμοῦ, μύριοι πεντακισχίλιοι φ'. Ἐπ' εὐθείας δὲ τῷ διαστήματι τούτῳ τὸ συνεχὲς δεῖ νοεῖν, τὸ ἀπὸ τοῦ Ἰνδοῦ μέχρι τῆς ἑῴας θαλάττης μῆκος τῆς Ἰνδικῆς. Ταῦτα μὲν τὰ περὶ τοὺς Σάκας.* Unde ille numerus, singulis intervallis non congruus, provenerit, obscurum est; id quidem patet, huius stadia et superioris fragmenti exaequatione non indigere accurata.

## Persis.

CXVII. IDEM p. 727. *Μῆκος μὲν οὖν ἐστι κατ' Ἐρατοσθένη τὸ ἐπὶ τὰς ἄρκτους καὶ τὰς Κασπίους πύλας περὶ ὀκτακισχιλίων, κατά τινας προπιπτούσας ἄκρας. Λοιπὴ δ' ἐστὶν ἐπὶ Κασπίους πύλας οὐ πλείους ἢ τῶν δισχιλίων. Πλάτος δὲ τὸ ἐν τῇ μεσογαίᾳ τὸ ἀπὸ Σούσων εἰς Περσαίπολιν στάδιοι τετρακισχίλιοι διακόσιοι, κἀντεῦθεν ἐπὶ τοὺς τῆς Καρμανίας ὅρους ἄλλοι χίλιοι ἑξακόσιοι.*

## Arabia.

De qua duo prolixiora ipsis Nostri nominibus fragmenta extant.

CXVIII. IDEM XVI. p. 741. *Ἐρατοσθένης δὲ τῶν λιμνῶν μνησθεὶς τῶν πρὸς τῇ Ἀραβίᾳ, φησὶ τὸ ὕδωρ ἀπορούμενον διεξόδων ἀνοῖξαι πόρους ὑπὸ γῆς, καὶ δι' ἐκείνων ὑποφέρεσθαι μέχρι Κοιλοσύρων, ἀναθλίβεσθαι*

δὲ εἰς τοὺς περὶ Ῥινοκόλουρα καὶ τὸ Κάσιον ὄρος ποταμούς, καὶ ποιεῖν τὰς ἐκεῖ λίμνας καὶ τὰ βάραθρα.

CXIX. Idem p. 765. Ὁ μὲν οὖν Περσικὸς κόλπος λέγεται καὶ ἡ κατὰ Πέρσας θάλαττα. Φησὶ δὲ περὶ αὐτῆς Ἐρατοσθένης οὕτως, ὅτι τὸ μὲν στόμα· φησίν *)· εἶναι στενὸν οὕτως, ὥστ᾽ ἐξ Ἁρμόζοντος, τοῦ τῆς Καρμανίας ἀκρωτηρίου, τῆς Ἀραβίας ἀφορᾶται τὸ ἐν Μάκαις· ἀπὸ δὲ τοῦ στόματος ἡ ἐν δεξιᾷ παραλία περιφερὴς οὖσα κατ᾽ ἀρχὰς μὲν ἀπὸ τῆς Καρμανίας πρὸς ἕω μικρόν, εἶτα πρὸς ἄρκτον νεύει, καὶ μετὰ ταῦτα πρὸς τὴν ἑσπέραν μέχρι Τερηδόνος καὶ τῆς ἐκβολῆς τοῦ Εὐφράτου· περιέχει δὲ τήν τε Καρμάνιον παραλίαν, καὶ τὴν Περσῶν καὶ Σουσίων καὶ Βαβυλωνίων ἀπὸ μέρους, ὅσον μυρίων οὖσαν σταδίων· (p. 766.) περὶ ὧν καὶ ἡμεῖς εἰρήκαμεν· τὸ δ᾽ ἐντεῦθεν ἑξῆς ἐπὶ τὸ στόμα πάλιν ἄλλοι τοσοῦτοι, καθάπερ καὶ Ἀνδροσθένη λέγειν φησὶ τὸν Θάσιον, τὸν καὶ Νεάρχῳ συμπλεύσαντα καθ᾽ αὐτόν· ὥστε δῆλον ἐκ τούτων εἶναι, διότι μικρὸν ἀπολείπεται τῷ μεγέθει τῆς κατὰ τὸν Εὔξεινον

*) Φασίν neque hic, neque infra, ubi Strabo ut alibi personam suam interponit, reponi debebat. Illud quidem redundat. Quin Athenaeus etiam versibus poetarum φησίν suum inseruit: v. VIII. p. 340. E. coll. IX. p. 373. C. XII. p. 512. C. Cf. observata ad Platon. Phaed. p. 78. A. Proxime accedit Alexis ap. Athenaeum XIII. p. 610. E. sollicitatus a Luzacio de digamia Socratis p. 127; conferendus eidem Athen. ibid. p. 564. A. Deinde Phrynich. ap. Hephaest. p. 67.

τό γε μὴν ξείνια δοῦσαις λόγος, ὥσπερ λέγεται,
ὀλέσαι;

interpunctionem mutatum ivit Hermannus Elem. D. M. p. 473, locutione minus Graeca illata. Dubium amovebunt Eurip. Bacch. 770. Aesch. Suppl. 296, 97. Adde Eriphum ap. Athen. IV. p. 134. C.

Λόγος γάρ ἐστ᾽ ἀρχαῖος, οὐ κακῶς ἔχων·
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

Idem Hermannus in Aristoph. Nub. 1138.

πᾶς γάρ τις ὀμνύσ᾽, οἷς ὀφείλων τυγχάνω,
θείς μοι πρυτανεῖ᾽, ἀπολεῖν μέ φησι κἀξολεῖν,

memor futurus Pluti 40 sqq., sese continuisset. Cf. fr. CXXII. init.

